

Lately Published for the Use of Schools,

And sold by

GEORGE KEITH, at the Bible-and-Crown, in Gracechurch-Street.

1. OVER's Works of Ovid, translated into English, with a correct Copy of the original Latin in the opposite Page, and Notes Critical, Historical, and Explanatory, in one large handsome Octavo, Price 6 s.

2. The Works of Virgil, Horace, Ovid, and Phaedrus, all done in the same Manner.

3. Ainsworth's Latin Dictionary in Folio, Quarto, and Octavo.

4. Altieri's Italian and English Dictionary, 2 Vols. Quarto.

5. Art of Drawing in Water Colours and Perspective, with neat Copper-Plates, each 5 s.

6. Boyer's Royal French Dictionary, Quarto and Octavo.

7. Barrow's Euclid's Elements, the whole 15 Books, Demonstrated and Illustrated with Copper-Plates, 5 s.

8. Bladen's Caesar's Commentaries, translated into English, with Notes and Copper-Plates, 6 s.

9. Clare's Introduction to Trade and Business, 2 s. 6 d.

10. —— Motion of Fluids, both natural and artificial, illustrated with Copper-Plates, 6 s.

11. Dilworth's Practical Arithmetic; or, the Rule of Practice methodised and improved, published as a compleat Exercise Book for the Use of Schools, Pr. 4 s.

12. —— Child's best Guide to the English Tongue; being the easiest and shortest Method to spell and read, on a new Plan, adorned with Copper-Plates, 1 s.

13. Dougharty's Mathematical Digests, illustrated with fine Copper-Plates, in one handsome Volume, Quarto, 12 s.

14. Æsop's Fables, with instructive Morals and Reflections, and 140 Copper-Plate Cuts, 2 s. 6 d.

15. —————— in a smaller Size, with neat Wood Cuts, 1 s.

16. Fenning's young Algebraist's Companion, 3 s.

17. Gay's Fables, Octavo and Duodecimo, with a new Set of fine Copper-Plates.

18. Manley's Index Corruptae Latinitatis; being a proper Supplement to all the Latin Dictionaries, 1 s.

19. —— Ovid's Fasti, translated into English Verse, with Notes, 4 s.

20. Clarke's Introduction to Making Latin, 2 s.

21. Delphini, Caesar, Justin, Juvenal, Florus, Terence, Suetonius, &c.

22. Hewitt on Money, Coins, and Exchanges, 2 s. 6 d.

23. Hayes's Negotiator's Magazine, 6 s.

24. Martin's Philosophical Grammar, with Copper-Plates, 6 s.

25. Kennett's Roman Antiquities, with Copper-Plates, 5 s.

26. New Guide to Geography, with a Set of Maps neatly engraved by Bowen, 1 s. 6 d.

27. Kelly's New Translation of Sallust, 5 s.

28. Keill's Introduction to Astronomy, 6 s.

29. Palairet's French Scholar's Guide, 2 s. 6 d.

30. —— New Introduction to the Latin Tongue, 1 s.

BOOKS

Lately Publiſhed for the Use of SCHOOLS,

And Sold by

GEORGE KEITH, at the *Bible*-and-*Crown*, in *Gracechurch-ſtreet.*

1. CICERO's ſelect Orations, tranſlated into Engliſh, with a correct Copy of the original Latin in the oppoſite Page, and Notes Critical, Hiſtorical, and Explanatory, in one large Volume Octavo, Price 6 *s.*

2. The Works of Virgil, Horace, Ovid, and Phædrus, all done in the ſame Manner.

3. Ainſworth's Latin Dictionary in Folio, Quarto, and Octavo.

4. Altieri's Italian and Engliſh Dictionary, 2 Vols. Quarto.

5. Art of Drawing in Water Colours and Perſpective, with neat Copper-Plates, each 1 *s.*

6. Boyer's Royal French Dictionary, Quarto and Octavo.

7. Barrow's Euclid's Elements, the whole 15 Books, Demonſtrated and Illuſtrated with Copper-Plates, 5 *s.*

8. Bladen's Cæſar's Commentaries, tranſlated into Engliſh, with Notes and Copper-Plates, 6 *s.*

9. Clare's Introduction to Trade and Buſineſs, 2 *s.* 6 *d.*

10. ——— Motion of Fluids, both natural and artificial, illuſtrated with Copper-Plates, 6 *s.*

11. Dean's Practical Arithmetic; or, the Rule of Practice methodized and improved, publiſhed as a compleat Exerciſe Book for the Uſe of Schools, Pr. 4 *s.*

12. ——— Child's beſt Guide to the Engliſh Tongue; being the eaſieſt and ſhorteſt Method to ſpell and read, on a new Plan, adorned with Copper-Plates, 1 *s.*

13. Dougharty's Mathematical Digeſts, illuſtrated with fine Copper-Plates, in one handſome Volume, Quarto, 12 *s.*

14. Æſop's Fables, with inſtructive Morals and Reflections, and 240 Copper-Plate Cuts, 2 *s.* 6 *d.*

15. ————— in a ſmaller Size, with neat Wood Cuts, 1 *s.*

16. Fenning's young Algebraiſt's Companion, 3 *s.*

17. Gay's Fables, Octavo and Duodecimo, with a new Set of fine Copper-Plates.

18. Maſſey's Index Corruptæ Latinitatis; being a proper Supplement to all the Latin Dictionaries, 1 s.

19. ——— Ovid's Faſti, tranſlated into Engliſh Verſe, with Notes, 4 *s.*

20. Clarke's Introduction to Making Latin, 2 *s.*

21. Delphini, Cæſar, Juſtin, Juvenal, Florus, Terence, Suetonius, *&c.*

22. Hewit on Money, Coins, and Exchanges, 2 *s.* 6 *d.*

23. Hayes's Negotiator's Magazine, 6 *s.*

24 Martin's Philoſophical Grammar, with Copper-Plates, 6 *s.*

25. Kennet's Roman Antiquities, with Copper-Plates, 5 *s.*

26. New Guide to Geography, with a Set of Maps neatly engraved by Bowen, 2 *s.* 6 *d.*

27. Roſe's New Tranſlation of Salluſt, 3 *s.*

28. Keil's Introduction to Aſtronomy, 6 *s.*

29. Hudſon's French Scholar's Guide, 2 *s.* 6 *d.*

30. ——— New Introduction to the Latin Tongue, 1 *s.*

John Adams

ὉΜΉΡΟΥ ἸΛΙΆΔΟΣ

ΒΙ΄ΒΛΟΙ Α, Ε, Ι.

HOMERI ILIADOS

LIBRI I. V. IX.

CUM

SCHOLIIS BREVIORIBUS,

ET INDICE

Omnium fere VOCUM GRÆCARUM,

Nec non THEMATUM præcipuorum,

QUÆ

In HOMERI Rhapſodiis A. E. I. promiſcuè continentur,

'Εξετάσει & Inveſtigatione.

In Uſum Scholarum.



LONDINI:

Impenſis G. KEITH, in Vico dicto *Gracechurch-ſtreet.*

MDCCLX.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Α'.

Ἄλφα, λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων.

ΜΗΝΙΝ ἄειδε, Θεὰ, Πηληϊάδεω Ἀχιλῆος
Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε.
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
Ἡρώων, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν,
Οἰωνοῖσί τε πᾶσι· (Διὸς δ' ἐτελείετο βουλή·)
Ἐξ οὗ δὴ ταπρῶτα διαστήτην ἐρίσαντε

1. Μῆνιν. Ὀργὴν, χόλον ἐπίμονον. Ἄειδε] ᾆδε, λέγε. Θεά.] Μοῦσα. λέγει δὲ τὴν Καλλιόπην. Πηληϊάδεω] Τοῦ Πηλέως παιδός.

2. Οὐλομένην.] Ὀλεθρίαν. Ἣ] Ἥ τις ὀργή. Μυρία.] Ἀορίστως, ἀντὶ τοῦ πολλά. Ἀχαιοῖς] Τοῖς Ἕλλησιν. Ἄλγεα.] Κακὰ, ἢ λύπας. Ἔθηκεν] Ἐποίησεν, εἰργάσατο.

3. Πολλάς.] Παμπόλλους. Ἰφθίμους.] Ἰσχυρὰς, γενναίας. Ἄϊδι] Τῷ ᾅδῃ. ἀπὸ εὐθείας τῆς ἄϊς, ὡς Πάρις. Προΐαψε.] Πρὸ τῆς εἱμαρμένης ἔπεμψεν.

4. Ἡρώων] Τῶν ἡμιθέων ἀνδρῶν. Αὐτοὺς δὲ.] Ἀντὶ τοῦ, τὰ δὲ σώματα αὐτῶν. Ἑλώρια.] Ἑλκύσματα, σπαράγματα. Τεῦχε.] Ἐποίει. Κύνεσσι.] Κυσίν. Αἰολὶς ἡ διάλεκτος.

5. Οἰωνοῖσι. Τοῖς σαρκοφάγοις ὄρνισι. λέγει δὲ γυψὶ καὶ κόραξι. Πᾶσιν. Ἅπασι. Ἐτελείετο.] Ἐτελειοῦτο, ἐπληροῦτο. Βουλή] Γνώμη.

6. Ἐξ οὗ δὴ] Ἀφ' οὗ δὴ χρόνου. Ταπρῶτα.] Τὸ πρῶτον, καὶ τὴν ἀρχήν. Διαστήτην.] Διεχωρίσθησαν. Ἐρίσαντε.] Φιλονεικήσαντες.

7. Ἀτρεί-

Ἀτρείδης τε ἄναξ ἀνδρῶν, καὶ δῖος Ἀχιλλεύς.
Τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆϊ χολωθεὶς
Νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν· (ὀλέκοντο δὲ λαοί)
Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα
Ἀτρείδης· ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος,
Χρυσέῳ ἀνὰ σκήπτρῳ· καὶ ἐλίσσετο πάντας Ἀχαιοὺς,
Ἀτρείδα δὲ μάλιστα, δύω κοσμήτορε λαῶν·
Ἀτρεῖδαί τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,

7. Ἀτρείδης.] Ὁ Ἀτρέως παῖς. Ἀγαμέμνων. Ἄναξ.] Βασιλεύς, Δῖος.] Θεῖος, εὐγενὴς, ἢ ἀπὸ Διὸς ἔχων τὸ γένος, ἔντιμος· ἀπὸ γὰρ Αἰγίνης τῆς Ἀσωποῦ τοῦ ποταμοῦ Θηβῶν, Αἰακός· Αἰακοῦ δὲ, Τελαμὼν καὶ Πηλεύς· Πηλέως δὲ, Ἀχιλλεύς.

8. Τίς ἄρ' σφωε.] Τίς δὴ αὐτοὺς τοὺς δύω, Ἀγαμέμνονα, καὶ Ἀχιλλέα. πάλιν δὲ, τοῦτο ὁ Ποιητὴς ἐρωτᾷ τὴν Μοῦσαν. Ἔριδι.] Φιλονεικίᾳ. Ξυνέηκε.] Συνέβαλε, συνέμιξε.

9. Λητοῦς καὶ Διὸς υἱός.] Ὁ τῆς Λητοῦς καὶ Διὸς παῖς Ἀπόλλων. πάλιν δὲ τοῦτο ὡς ἀπὸ τῆς Μούσης. Ὁ γάρ.] Οὗτος γάρ. Βασιλῆϊ.] Τῷ βασιλεῖ. Χολωθείς.] Ὀργισθείς.

10. Νοῦσον.] Νόσον λοιμικήν. Ἀνὰ στρατόν.] Κατὰ τὸ στρατόπεδον. Ὦρσε] Διήγειρεν, ἐνέβαλε. Κακήν.] Κακωτικήν. Ὀλέκοντο.] Ἀπώλλοντο. Λαοί.] Ὄχλοι.

11. Οὕνεκα τὸν Χρύσην.] Ἕνεκα. ἐπειδὴ τὸν Χρύσην. Ἠτίμησεν.] Ἀτίμως ὕβρισεν. Ἀρητῆρα.] Ἱερέα. παρὰ τὸ ἀρᾶσθαι, ὅ ἐστιν εὔχεσθαι.

12. Ὁ γάρ.] Οὗτος γάρ. Ἦλθε. Παρεγένετο. Θοάς.] Ταχείας. Ἐπὶ νῆας.] Ἐπὶ τὰς ναῦς, ὅ ἐστι τὰ πλοῖα.

13. Λυσόμενος.] Λυτρωσόμενος. Θύγατρα.] Τὴν θυγατέρα. Φέρων.] Κομίζων, ἄγων. Ἀπερείσια.] Ἄπειρα τῷ πλήθει, πολλά. Ἄποινα.] Δῶρα, λύτρα, ἄφοινα τινὰ ὄντα, τὰ ἕνεκεν φόνου διδόμενα.

14. Στέμματα.] Στεφανώματα. Ἔχων.] Κατέχων, κρατῶν. Ἑκηβόλου.] Ἕκαθεν, ὅ ἐστι πόῤῥωθεν βάλλοντος, εὐστόχου τοξότου.

15. Χρυσέῳ ἀνὰ σκήπτρῳ.] Περὶ τῷ κεχρυσωμένῳ σκήπτρῳ, ὅ ἐστι τῇ χρυσῇ ῥάβδῳ τῇ βασιλικῇ. Ἐλίσσετο] Ἐλιτάνευε, παρεκάλει. Πάντας Ἀχαιούς.] Πάντας τοὺς Ἕλληνας.

16. Ἀτρείδα δὲ μάλιστα.] Μάλιστα δὲ τοὺς Ἀτρέως παῖδας, Ἀγαμέμνονα καὶ Μενέλαον. Μάλιστα.] Ἐξαιρέτως. Δύω.] Δισσούς. Κοσμήτορε.] Διατάκτορας, ἡγεμόνας. Λαῶν.] Τῶν ὄχλων.

17. Ἀτρεῖδαί τε.] Ὦ Ἀτρέως

παῖδες

Ὑμῖν μὲν θεοὶ δοῖεν, ὀλύμπια δώματ' ἔχοντες,
Ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἱκέσθαι·
Παῖδα δέ μοι λύσαιτε φίλην, τὰ δ' ἄποινα δέχεσθε,
Ἀζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ,
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα·
Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ·
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Μή σε, γέρον, κοίλησιν ἐγὼ παρὰ νηυσὶ κιχείω,
Ἢ νῦν δηθύνοντ', ἢ ὕστερον αὖτις ἰόντα,
Μὴ νύ τοι οὐ χραίσμῃ σκῆπτρον, καὶ στέμμα θεοῖο.
Τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισιν,
Ἡμετέρῳ ἐνὶ οἴκῳ, ἐν Ἄργεϊ, τηλόθι πάτρης,

παῖδες, Ἀγάμεμνον, καὶ Μενέλαε. Ἄλλοι.] Οἱ λοιποί.

18. Ὑμῖν μὲν θεοὶ δοῖεν.] Ὑμῖν μὲν οἱ θεοὶ παράσχοιεν. Ὀλύμπια δώματ' ἔχοντες.] Οἱ τὸν Ὄλυμπον κατοικοῦντες.

19. Ἐκπέρσαι.] Ἐκπορθῆσαι, καταστρέψαι. Πριάμοιο πόλιν.] Τὴν Ἴλιον. περιφραστικῶς. Εὖ δ'.] Καλῶς δέ. Οἴκαδε.] Εἰς τὰ οἰκεῖα. Ἱκέσθαι.] Παραγενέσθαι.

20. Παῖδα δέ μοι] Τὴν θυγατέρα μου. Λύσαιτε.] Λύτρα λαβόντες, ἀπόδοτε. Φίλην. Προσφιλεστάτην. Τὰ δ' ἄποινα.] Τάδε τὰ δῶρα. Δέχεσθε.] Λαμβάνετε.

21. Ἀζόμενοι.] Ἐντρεπόμενοι, σεβόμενοι. Διὸς υἱόν.] Τὸν Διὸς παῖδα Ἀπόλλωνα.

22. Ἔνθα.] Τότε· Ἐπευφήμησαν.] Μετ' εὐφημίας ἐβόησαν.

23. Αἰδεῖσθαι.] Ἐντρέπεσθαι. Ἱερῆα. Ἀγλαά.] Καλά. Δέχθαι.] Δέχεσθαι, λαμβάνειν.

24. Ἀλλ' οὐκ Ἀτρείδῃ.] Ἀλλ' οὐ τῷ Ἀτρέως παιδὶ, Ἀγαμέμνονι. Ἥνδανε.] Ἤρεσκε.

25. Ἀλλὰ κακῶς.] Ἀλλὰ μεθ' ὕβρεως. Ἀφίει.] Ἀπέπεμπε. Κρατερόν.] Ἰσχυρὸν, ἀπειλητικόν. Μῦθον.] Λόγον. Ἔτελλεν.] Ἐπέτελλεν, ἔλεγε.

26. Μή σε, γέρον.] Μή σε, ὦ πρεσβύτα. Κοίλησι.] Κοίλαις, βαθείαις. Παρὰ νηυσί.] Παρὰ ταῖς ναυσί. Κιχείω.] Καταλάβω.

27. Ἢ νῦν.] Ἢ ἐν τῷ παρόντι καιρῷ· Δηθύνοντα.] Ἐγχρονίζοντα. Ἢ ὕστερον.] Ἢ ἐκ δευτέρου. Αὖτις.] Πάλιν. Ἰόντα.] Παραγινόμενον.

28. Μή νύ τοι.] Μὴ οὐκ ἄν σοι. Οὐ χραίσμῃ.] Οὐ βοηθήσῃ. Σκῆπτρον.] Ἡ βασιλικὴ ῥάβδος.

29. Τὴν δέ.] Ταύτην δέ. Οὐ λύσω.] Οὐκ ἀπολύσω. Πρίν μιν.] Πρὸ τοῦ αὐτήν. Γῆρας ἔπεισι.] Τὸ γῆρας καταλάβῃ.

30. Ἡμετέρῳ ἐνὶ οἴκῳ.] Ἐν τῷ ἡμετέρῳ οἴκῳ. Ἐν Ἄργει.] Ἐν τῷ Ἀρ-

Ἱστὸν ἐποιχομένην, καὶ ἐμὸν λέχος ἀντιόωσαν.
Ἀλλ' ἴθι, μή μ' ἐρέθιζε· σαώτερος ὥς κε νέηαι.
Ὣς ἔφατ'. ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης.
Πολλὰ δ' ἔπειτ' ἀπάνευθε κιὼν ἠρᾶθ' ὁ γεραιὸς
Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·
Κλῦθί μευ, ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις,
Σμινθεῦ· εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
Ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
Ταύρων ἠδ' αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ·

Ἄργει, ὅ ἐστι, τῇ Πελοποννήσῳ νῦν καλουμένῃ· Τηλόθι πάτρης.] Πόῤῥω τῆς πατρίδος.

31. Ἱστὸν ἐποιχομένην.] Ἱστουργοῦσαν, καὶ ὑφαίνουσαν. Καὶ ἐμὸν λέχος ἀντιόωσαν.] Καὶ τῆς ἐμῆς κοίτης ἀντιλαμβανομένην, καὶ μετέχουσαν.

32. Ἀλλ' ἴθι.] Ἀλλ' ἄπιθι. Μή μ' ἐρέθιζε.] Μὴ παρόξυνε. Σαώτερος.] Σῶος, ὑγιής. Ὥς κε.] Ὅπως ἄν. Νέηαι.] Πορευθῇς.

33. Ὣς ἔφατο.] Οὕτως εἶπεν. Ἔδδεισεν] Ἐφοβήθη, εὐλαβήθη. Ὁ γέρων.] Ὁ πρεσβύτης. Καὶ ἐπείθετο.] Καὶ ἐπείθετο,] Καὶ ἐπείσθη. Μύθῳ.] Τῷ λόγῳ.

34. Βῆ δ'.] Ἐπορεύθη δέ. Ἀκέων.] Ἡσυχάζων, σιωπῶν. Παρὰ θῖνα.] Παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης. Πολυφλοίσβοιο.] Πολυήχου, πολυταράχου.

35. Πολλά.] Πλεῖστα. Ἔπειτα.] Μετὰ ταῦτα. Ἀπάνευθεν.] Ἄπωθεν, χωρίς. Κιών.] Παραγινόμενος, πορευθείς. Ἠρᾶτο.] Ηὔχετο. Ὁ γεραιός.] Ὁ πρεσβύτης.

36. Ἄνακτι.] Τῷ βασιλεῖ. νῦν δὲ θεῷ τῷ Ἀπόλλωνι. Τόν.] Ὅντινα. Τέκεν.] Ἔτεκεν, ἐγέννησεν. Λητώ.] Λητὼ Κοίου καὶ Φοίβης θυγάτηρ.

37. Κλῦθί μευ.] Ἐπάκουσόν μου. Ἀργυρότοξε.] Λαμπρότοξε, καλλίτοξε. Ὃς Χρύσην.] Ὅστις τὴν Χρύσαν. Χρύσα δὲ πόλις Τρωϊκή. Ἀμφιβέβηκας.] Περιβέβηκας, ὑπερμαχεῖς.

38. Κίλλαν τε.] Καὶ τὴν Κίλλαν. ἔστι δὲ πολίχνιον τῆς Τρωάδος. Ζαθέην.] Ἄγαν θείαν, ὅ ἐστι πάνυ. Ἶφι] Ἰσχυρῶς, γενναίως. Ἀνάσσεις.] Βασιλεύεις.

39. Σμινθεῦ.] Ὦ Σμινθεῦ. ἔστι δὲ ἐπίθετον τοῦ Ἀπόλλωνος. Εἴ ποτέ τοι.] Ἐάν ποτέ σοι. Χαρίεντα.] Εὔχαριν, καλόν. Νηόν.] Ναόν. Ἔρεψα.] Ἐπέρεψα, ὠρόφωσα, ἐστεφάνωσα.

40. Ἢ εἰ δή ποτέ τοι.] Ἢ εἴ πω ποτέ σοι. Πίονα] Πιμελῆ, λιπαρά. Μηρία.] Τὰ μηριαῖα ὀστᾶ. Ἔκηα.] Ἐπὶ τῷ βωμῷ ἔκαυσα.

41. Ταύρων ἠδ' αἰγῶν.] Ἤτοι, ταύρων καὶ αἰγῶν. Τόδε μοι.] Τοῦτό

Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.
Ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων·
Βῆ δὲ κατ᾽ οὐλύμποιο καρήνων χωόμενος κῆρ,
Τόξ᾽ ὤμοισιν ἔχων, ἀμφηρεφέα τε φαρέτρην·
Ἔκλαγξαν δ᾽ ἄρ᾽ ὀϊστοὶ ἐπ᾽ ὤμων χωομένοιο
Αὐτοῦ κινηθέντος· ὁ δ᾽ ἤϊε νυκτὶ ἐοικώς.
Ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε νεῶν, μετὰ δ᾽ ἰὸν ἕηκε·
Δεινὴ δὲ κλαγγὴ γένετ᾽ ἀργυρέοιο βιοῖο.
Οὐρῆας μὲν πρῶτον ἐπῴχετο, καὶ κύνας ἀργούς·
Αὐτὰρ ἔπειτ᾽ αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς,
Βάλλ᾽· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.

μοι. Κρήηνον.] Ἐπιτέλεσον. Ἐέλδωρ.] Ἐπιθύμημα.

42. Τίσειαν.] Τιμωρίαν δοῖεν, ὅ ἐστι, παράσχοιεν. Δαναοί.] Οἱ Ἕλληνες· ἀπὸ Δαναοῦ τοῦ Βήλου.

43. Ὣς ἔφατο.] Οὕτως εἶπεν. Τοῦ δ᾽ ἔκλυε.] Τούτου δὲ ὑπήκουσε. Φοῖβος.] Καθαρὸς, ἀμίαντος, ἢ μαντικός.

44. Βῆ δὲ κατ᾽ οὐλύμποιο.] Κατέβη δὲ ἀπὸ τῶν τοῦ ὀλύμπου ἐξοχῶν, ὅ ἐστιν ἀκρωτηρίων. Χωόμενος.] Λυπούμενος, ὀργιζόμενος. Κῆρ.] Περισπωμένως μὲν, ἡ ψυχή. Ὀξυτόνως δὲ, ἡ θανατηφόρος μοῖρα.

45. Τόξ᾽ ὤμοισιν ἔχων.] Ἀντὶ τοῦ, τὸ τόξον ἐπὶ τοῖς ὤμοις ἔχων. Ἀμφηρεφέα τε φαρέτρην.] Τὴν ἑκατέρωθεν ἐσκεπασμένην φαρέτραν, ἤγουν βελοθήκην.

46. Ἔκλαγξαν.] Ποιὸν ἦχον ἀπετέλεσαν. Ὀϊστοί.] Τὰ βέλη. Ἐπ᾽ ὤμων.] Ἐπὶ τῶν ὤμων. Χωομένοιο.] Ὀργιζομένου.

47. Αὐτοῦ κινηθέντος.] αὐτοῦ ἐπὶ τόπον. Ὁ δέ.] Οὗτος δέ. Ἤϊε.] Παρεγένετο. Νυκτὶ ἐοικώς.] Σκότει παραπλήσιος, φοβερὸς καὶ ἀόρατος.

48. Ἕζετο.] Ἐκαθέζετο. Ἔπειτα.] Μετὰ ταῦτα. Ἀπάνευθεν.] Ἄπωθεν, χωρίς. Νεῶν.] Τῶν νηῶν, τῶν πλοίων. Μετὰ δέ.] Μετὰ ταῦτα δέ. Ἰόν.] Βέλος. Ἕηκεν.] Ἀφῆκεν, ἔπεμψε.

49. Δεινὴ δὲ κλαγγή.] Φοβερὸς δὲ ἦχος. Γένετο.] Ἐγένετο. Ἀργυρέοιο.] Ἀργυροῦ, καλοῦ. Βιοῖο.] Τῆς τοῦ τόξου νευρᾶς.

50. Οὐρῆας.] Ὀρεῖς, ὑποζύγια. Ἐπῴχετο.] Ἐπήει, ἐπήρχετο. Ἀργούς.] Ταχεῖς, ἢ λευκούς.

51. Αὐτὰρ ἔπειτα.] Μετὰ ταῦτα δέ. Αὐτοῖσιν.] Αὐτοῖς, δηλονότι τοῖς Ἕλλησιν. Ἐχεπευκές.] Ἔχον πικρίαν. ἀπὸ τῆς πεύκης ἡ μεταφορά. Ἐφιείς.] Ἐπιπέμπων.

52. Βάλλε.] Ἔβαλλεν, ἐκ βολῆς ἀνῄρει, ἐτίτρωσκεν. Αἰεὶ δέ.] Διηνεκῶς δέ. Πυραί.] Πυρκαιαί. Τῶν νεκρῶν. Καίοντο.] Ἐκαίοντο. Θαμειαί.] Πυκναί, συνεχεῖς.

53. Ἐν-

Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο·
Τῇ δεκάτῃ δ᾽ ἀγορὴνδε καλέσσατο λαὸν Ἀχιλλεύς.
Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·
Κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
Οἱ δ᾽ ἐπεὶ οὖν ἤγερθεν, ὁμηγερέες τ᾽ ἐγένοντο,
Τοῖσι δ᾽ ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω
Ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν·
Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
Ἀλλ᾽ ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον, (καὶ γάρ τ᾽ ὄναρ ἐκ Διός ἐστιν·)

53. Ἐννῆμαρ.] Ἐπὶ ἐννέα ἡμέρας. Ἀνὰ στρατόν.] Κατὰ τὸ στρατόπεδον. Ὤχετο.] Ἐπῄει, ἐπήρχετο. Κῆλα.] Βέλη.

54. Τῇ δεκάτῃ δέ.] Προσυπακουστέον, ἡμέρᾳ. Ἀγορήν.] Ἐκκλησίαν, συνέδριον. Καλέσσατο.] Συνεκαλέσατο, συνήγαγε.

55. Τῷ γάρ.] Τούτῳ γάρ. Ἐπὶ φρεσὶ θῆκε.] Κατὰ νοῦν ἐποίησε. Λευκώλενος. Λευκοβραχίων, ἀπὸ μέρους, καλή. ὠλέναι γὰρ αἱ χεῖρες.

56. Ἥρη κήδετο.] Ἐφρόντιζεν ἡ Ἥρα. Ὅτι ῥα.] Ὅτι δή. Θνήσκοντας.] Ἀποθνήσκοντας. Ὁρᾶτο.] Ἑώρα, ἔβλεπεν.

57. Οἱ δ᾽ ἐπεὶ οὖν.] Ἐπειδὴ δὲ οὗτοι. Ἤγερθεν.] Συνηθροίσθησαν, Ὁμηγερέες.] Ὁμοῦ κατὰ τὸ αὐτὸ ἐγένοντο.

58. Τοῖσι δέ.] Ἐν αὐτοῖς δέ. Ἀνιστάμενος.] Ἀναστάς· τὸ γὰρ παλαιόν, κἂν βασιλεὺς ἦν, κἂν ἄλλης οἵας δή ποτε τύχης, ἐδημηγόρει ὀρθὸς ἱστάμενος. Μετέφη.] Ἐν αὐτοῖς εἶπεν, ἐδημηγόρησε. Πόδας ὠκύς.] Ὁ ταχὺς τοῖς ποσί. διὰ δὲ τούτου δηλοῖ ἡμῖν τὸ εὐκίνητον τοῦ Ἥρωος.

59. Νῦν.] Ἄρτι. χρονικὸν ἐπίρρημα. Ἄμμε.] Ἡμᾶς, Αἰολικῶς. Παλιμπλαγχθέντας.] Εἰς τοὐπίσω πλανηθέντας. Ὀΐω.] Οἶμαι, ὑπολαμβάνω.

60. Ἄψ.] Πάλιν, εἰς τοὐπίσω. Ἀπονοστήσειν.] Ἐπανελθεῖν, ὑποστρέψειν. νόστος γὰρ ἡ εἰς οἶκον ὑποστροφή, διὰ τὸ τῆς πατρίδος ἡδύ. Εἴ κεν.] Ἐὰν τὸν θάνατον ὅλως διαφύγωμεν.

61. Εἰ δὴ ὁμοῦ.] Ἐπειδὴ ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν χρόνον καὶ καιρόν. Δαμᾷ.] Δαμάζει, καταπονεῖ.

62. Μάντιν ἐρείομεν.] Ἀλλὰ δεῦρο μάντιν τινὰ ἐρωτήσωμεν. ἔστι γὰρ γένος τι μαντικῆς, διαιρούμενον εἰς εἴδη τρία. εἰς οἰωνοσκοπίαν, ἀεροσκοπίαν, καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. Ἐρείομεν.] Ἐρωτήσωμεν. Ἱερῆα.] Θύτην.

63. Ὀνειροπόλον.] Τὸν δὲ ὀνείρων μαντευόμενον. Ὄναρ.] Ὁ ὄνειρος, καὶ ἡ δι᾽ ὀνείρου ἀποκάλυψις. Ἐκ Διός.] Ἀπὸ τοῦ Διός.

64. Ὅς

Ὅς κ' εἴποι, ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων·
Εἴτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, εἴθ' ἑκατόμβης·
Αἴ κεν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
Βούλεται ἀντιάσας ἡμῖν, ἀπὸ λοιγὸν ἀμῦναι.
Ἤτοι ὅγ' ὣς εἰπὼν, κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος,
Ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
Καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν Ἴλιον εἴσω,
Ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο, καὶ μετέειπεν.
Ὦ Ἀχιλεῦ, κέλεαί με, Διῒ φίλε, μυθήσασθαι,
Μῆνιν Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος.

64. Ὅς κ' εἴποι.] Ὅστις ἂν ἡμῖν εἴποι. Ὅτι τόσσον.] Ὅτι τοσοῦτον. Ἐχώσατο.] Ὠργίσθη.

65. Εἴ τ' ἄρ'.] Εἴ τε δή. Ὅγε.] Οὗτος. Εὐχωλῆς.] Εὐχῆς, δεήσεως. Ἐπιμέμφεται.] Ἐπαιτιᾶται, ἐπιζητεῖ. Ἑκατόμβης.] Τελείας θυσίας, τῆς ἀπὸ τῶν ἑκατὸν βοῶν.

66. Αἴ κέν πως.] Ἐάν πως. Κνίσσης.] Ἐπίπλου, λίπους. ἀφ' οὗ θυσίας. Αἰγῶν τε.] Καὶ αἰγῶν. Τελείων.] Ἤτοι τὴν ἡλικίαν· ἢ ὁλοκλήρων, ἀσινῶν· λελωβημένον γὰρ, οὐ θύεται· ἀλλ' ὑγιὴς ἡ τῶν τελουμένων θυσία.

67. Ἀντιάσας.] Ἀπαντήσας, μεταλαχών. Ἡμῖν ἀπό.] Ἀπὸ καὶ χωρὶς ἡμῶν ποιήσαι τὸν λοιμόν. Λοιγόν.] Ὄλεθρον. Ἀμῦναι.] Ἀπείρξαι.

68. Ἤτοι ὅγ' ὣς εἰπών.] Οὗτος μὲν οὕτως εἰπών. Κατ' ἄρ' ἕζετο.] Ἐκαθέσθη. Τοῖσι δ'.] Ἐν αὐτοῖς δέ. Ἀνέστη.] Ὀρθὸς ἔστη.

69. Θεστορίδης.] Ὁ Θέστορος παῖς Κάλχας. Οἰωνοπόλων.] Ὀρνεοσκόπων, μάντεων. Ὄχ' ἄριστος.] Ἐξόχως ἄριστος.

70. Ὃς ᾔδη.] Ὅστις ἠπίστατο. Τά τ' ἐόντα.] Καὶ τὰ ἐνεστῶτα. Τά τ' ἐσσόμενα.] Καὶ τὰ γενησόμενα. Πρό τ' ἐόντα.] Καὶ τὰ προγεγονότα. ἔστι γὰρ τελείου μάντεως, τὸ ἐπίστασθαι τοὺς τρεῖς χρόνους ἀκριβῶς.

71. Καὶ νήεσσι.] Καὶ ταῖς ναυσίν. Ἡγήσατο.] Ἡγεμὼν ἐγένετο. Ἴλιον εἴσω.] Εἰς τὴν Ἴλιον.

72. Ἣν διὰ μαντοσύνην.] Διὰ τὴν ἰδίαν μαντείαν. Τήν οἱ.] Ἥντινα αὐτῷ. Πόρε.] Παρέσχεν, ἐδωρήσατο.

73. Ὅς σφιν.] Ὃς ἐν αὐτοῖς. Ἐϋφρονέων.] Καλῶς νοῶν. Ἀγορήσατο, καὶ μετέειπεν.] Ἐδημηγόρησε καὶ εἶπε.

74. Κέλεαί με.] Κελεύεις με. Διῒ φίλε.] Τῷ Διῒ προσφιλέστατε. Μυθήσασθαι.] Εἰπεῖν, ἀπαγγεῖλαι.

75. Μῆνιν Ἀπόλλωνος.] Τὴν ὀργὴν τοῦ Ἀπόλλωνος. Ἑκατηβελέταο.]

Τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον,
Ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.
Ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.
Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
Ἐν στήθεσσιν ἑοῖσι· σὺ δὲ φράσαι, εἴ με σαώσεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Θαρσήσας μάλα, εἰπὲ θεοπρόπιον ὅ,τι οἶσθα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα, Διῒ φίλον, ᾧτε σὺ Κάλχαν
Εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις, ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο,

λέταο.] Πόῤῥωθεν βάλλοντος, εὐστόχου τοξότου.

76. Τοὶ γὰρ ἐγὼν ἐρέω.] Ἐγὼ μὲν οὖν εἴπω. Σὺ δὲ σύνθεο] Σὺ δὲ σύνθου, καὶ κατάνευσον. Καί μοι ὄμοσσον.] Καὶ ὄμοσόν μοι.

77. Ἦ μέν μοι.] Ὄντως δή μοι. Ἔπεσι καὶ χερσί.] Λόγοις, καὶ ἔργοις. Ἀρήξειν.] Βοηθήσειν.

78. Ἦ γὰρ ὀΐομαι.] Ἀληθῶς ὑπολαμβάνω. Χολωσέμεν.] Εἰς ὀργὴν ἐμβαλεῖν. Ὃς μέγα.] Ὅστις μεγάλως.

79. Ἀργείων.] Τῶν Ἑλλήνων. Κρατέει.] Βασιλεύει. Καὶ οἱ πείθονται Ἀχαιοί.] Καὶ αὐτῷ ὑπακούουσιν οἱ Ἕλληνες.

80. Κρείσσων.] Ἐπικρατέστερος. Ὅτε χώσεται.] Ὅταν ὀργισθῇ. Ἀνδρὶ χέρηϊ.] Ἀνδρὶ χείρονι, ἐλάττονι.

81. Εἴπερ γάρ τε.] Ἐάνπερ γάρ. Χόλον.] Τὴν ὀργήν. Αὐτῆμαρ.] Αὐθημερὸν, ἐν αὐτῇ τῇ ἡμέρᾳ. Καταπέψῃ.] Κατάσχῃ, καταδαπανήσῃ.

82. Μετόπισθε.] Μεταταῦτα, ἐκ δευτέρου. Ἔχει.] Κατέχει, φυλάττει. Κότον.] Ὀργήν. Ὄφρα τελέσσῃ.] Ὅπως πληρώσῃ.

83. Ἑοῖσιν.] Ἰδίοις. Φράσαι.] Λόγισαι, σκέψαι. Εἴ με σαώσεις.] Ὅπως με σώσῃς.

84. Τὸν δέ.] Τοῦτον δέ. Ἀπαμειβόμενος.] Ἐξ ἀμοιβῆς ἀποκρινόμενος. Προσέφη.] Προσεῖπεν.

85. Θαρσήσας.] Εὐθάρσης καὶ ἄφοβος γενόμενος. Μάλα.] Λίαν, πάνυ. Θεοπρόπιον.] Τὸ ἐκ θεῶν μάντευμα. Ὅ,τι οἶσθα.] Ὅπερ ἐπίστασαι.

86. Οὐ μὰ γάρ.] Ὄμνυμι γάρ σοι. Διῒ φίλον.] Τὸν τῷ Διῒ προσφιλέστατον. Ὧι τε σύ.] Ὧι τινι σὺ, ὦ Κάλχαν.

87. Θεοπροπίας.] Τὰς ἐκ θεῶν μαντείας. Ἀναφαίνεις.] Φανερὰς ποιεῖς, προσημαίνεις.

88. Οὔτις.] Οὐδείς. Ἐμεῦ.] Ἐμοῦ.

Σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει,
Συμπάντων Δαναῶν· οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε, καὶ ηὔδα μάντις ἀμύμων·
Οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, οὔθ' ἑκατόμβης·
Ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων,
Οὐδ' ἀπέλυσε θύγατρα, καὶ οὐκ ἀπεδέξατ' ἄποινα.
Τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν Ἑκηβόλος, ἠδ' ἔτι δώσει·
Οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει,
Πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
Ἀπριάτην, ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην
Ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.
Ἤτοι ὅγ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη

Ἐμοῦ. Ἐπὶ χθονί.] Ἐπὶ τῆς γῆς. Δερκομένοιο.] Ὁρῶντος, ἢ ὁρωμένου.

89. Σοὶ κοίλης.] Κοίλαις, βαθείαις. Βαρείας χεῖρας.] Ὑβριστικὰς, φονικάς. Ἐποίσει.] Ἐπιβαλεῖ, ἐπενέγξει.

90. Συμπάντων Δαναῶν.] Ὁμοῦ πάντων τῶν Ἑλλήνων. Οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς.] Οὐδ' ἂν αὐτὸν τὸν Ἀγαμέμνονα ὀνόμασῃς.

91. Νῦν.] Ἐν τῷ παρόντι καιρῷ.] Πολλόν.] Καταπολύ. Ἄριστος.] Ἐξοχώτατος. Ἐνὶ στρατῷ.] Ἐν τῷ στρατοπέδῳ. Εὔχεται.] Καυχᾶται.

92. Θάρσησε] Ἐθάρσησεν, ἀνεζωπυρήθη. Καὶ ηὔδα.] Καὶ εἶπεν. Ἀμύμων.] Ἄμωμος, ἀγαθὸς καὶ ἄψεκτος.

93. Οὔτ' ἄρ'.] Οὔτε δή. Ὅγε.] Οὗτος ὁ Ἀπόλλων. Εὐχωλῆς.] Εὐχῆς δεήσεως.

94. Ἀρητῆρος.] Τοῦ ἱερέως.

96. Τοὔνεκα.] Τούτου ἕνεκα, τούτου χάριν. Ἄρ'.] Δή. Ἠδ' ἔτι.] Καὶ ἔτι. Δώσει.] Παράσχῃ.

97. Οὐδ' ὅγε.] Οὐδὲ οὗτος. Πρίν.] Πρότερον. Λοιμοῖο.] Τοῦ λοιμοῦ. Βαρείας.] Βλαβερὰς, κακωτικάς. Ἀφέξει.] Ἐπίσχοι, παύσει.

98. Δόμεναι.] Δοῦναι. Ἑλικώπιδα.] Μελανόφθαλμον. ἀφ' οὗ, εὐπρεπῆ. ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν. Κούρην.] Κόρην, θυγατέρα.

99. Ἀπριάτην, ἀνάποινον.] Ἄνευ πράσεως καὶ δώρων. ἐπιῤῥηματικῶς. Ἄγειν θ'.] Καὶ ἀπαγεῖν. Ἱερήν.] Εἰς τὴν ἱερὰν Χρύσαν. Ἑκατόμβην.] Τελείαν θυσίαν.

100. Τότε κέν μιν.] Τότε ἂν αὐτόν. Ἱλασσάμενοι.] Ἐξιλεωσάμενοι, εὐμενίσαντες. Πεπίθοιμεν.] Πείσοιμεν.

101. Κατ' ἄρ' ἕζετο.] Ἐκαθέσθη.

Ἥρως Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην·
Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέειπε·
Μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπας·
Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι·
Ἐσθλὸν δ' οὐδέ τι πω εἶπας ἔπος, οὐδ' ἐτέλεσσας·
Καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις,
Ὡς δὴ τοῦδ' ἕνεκά σφιν Ἑκηβόλος ἄλγεα τεύχει
Οὕνεκ' ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα
Οὐκ ἔθελον δέξασθαι· ἐπεὶ πολὺ βούλομαι αὐτὴν
Οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλα,
Κουριδίης ἀλόχου· ἐπεὶ οὐ ἕθεν ἐστὶ χερείων,

102. Εὐρυκρείων.] Μεγάλως κρατῶν καὶ βασιλεύων.

103. Ἀχνύμενος.] Λυπούμενος, ὀργιζόμενος. Μένεος.] Ὀργῆς, θυμοῦ. Φρένες ἀμφιμέλαιναι.] Αἱ ἐν βάθει κείμεναι καὶ συνεταὶ διάνοιαι αὐτοῦ. ἢ τεταραγμέναι, διὰ τὴν ὀργήν.

104. Πίμπλαντο.] Ἐπληροῦντο. Ὄσσε.] Ὄμματα. ὀφθαλμοί. Οἱ.] Αὐτῷ. Πυρὶ λαμπετόωντι.] Πυρὶ λάμποντι. Ἐΐκτην.] Ὡμοιῶντο.

105. Πρώτιστα.] Πρὸ πάντων. Κάκ' ὀσσόμενος.] Δεινὸν καὶ ὀργίλον ὑποβλεπόμενος. Προσέειπε.] Προσεῖπεν αὐτῷ.

106. Οὐ πώποτέ μοι] Οὐδέ ποτέ μοι. Τὸ κρήγυον.] Τὸ ἀληθές. νῦν δὲ τὸ ἀγαθόν. Εἶπας.] Εἶπες, ἔλεξας.

107. Αἰεί τοι.] Ἀεί σοι, διὰ παντός. Τὰ κάκ' ἐστὶ φίλα.] Τὰ κακά ἐστι προσφιλῆ. Φρεσί.] Ταῖς διανοίαις.

108. Ἐσθλὸν δέ.] Ἀγαθὸν δέ. Οὐδέ τι πω.] Οὐδέ ποτε. Ἔπος.] Λόγον. Οὐδ' ἐτέλεσσας.] Οὐδ' εἶπες, οὐδὲ ἐπλήρωσας.

109. Νῦν.] Ἐν τῷ παρόντι καιρῷ. Ἐν Δαναοῖσιν.] Ἐν τοῖς Ἕλλησιν. Θεοπροπέων.] Μαντευόμενος. Ἀγορεύεις.] Δημηγορεῖς, λέγεις.

110. Ὡς δὴ τοῦδ' ἕνεκα.] Ὡς ὅτι τούτου χάριν. Σφίν.] Αὐτοῖς τοῖς Ἕλλησιν. Τεύχει.] Παρέχει, ποιεῖ.

111. Οὕνεκα.] Οὗ ἕνεκα, διότι.

112. Οὐκ ἔθελον.] Οὐκ ἐβουλόμην. Δέξασθαι.] Λαβεῖν.

113. Οἴκοι ἔχειν.] Ἐν τῷ οἴκῳ κατέχειν. Κλυταιμνήστρης.] Τῆς Κλυταιμνήστρας, γυναικός μου. ἡ δὲ Κλυταιμνήστρα Ἀγαμέμνονος γυνή, Τυνδάρεω δὲ καὶ Λήδας τῆς Θεστίου θυγάτηρ, Ἑλένης δὲ ἀδελφή. Προβέβουλα.] Προκέκρικα, προτιμῶ.

114. Κουριδίης ἀλόχου.] Παρθενικῆς γυναικός. Ἐν ἐφύβριστον πασχούσης; Ἐπεὶ οὐ ἕθεν.] Ἐπεὶ κατ' οὐδὲν αὐτῆς. Χερείων.] Χείρων. ἐλάσσων.

Οὐ δέμας, οὐδὲ φυὴν, οὔτ' ἄρ φρένας, οὔτε τι ἔργα.
Ἀλλὰ καὶ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τόγ' ἄμεινον.
Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.
Αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ', ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραστος ἔω· ἐπεὶ οὐδὲ ἔοικε.
Λεύσσετε γὰρ τόγε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων,
Πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
Οὐδέ τι πω ἴδμεν ξυνήϊα κείμενα πολλά·
Ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
Λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
Ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ

115. Οὐδὲ φυήν.] Οὐδὲ τὴν τοῦ σώματος εὐφυΐαν καὶ ἀρετήν. Οὔτ' ἄρ φρένας.] Οὔτε κατὰ τὰς φρένας. Οὔτε τι ἔργα.] Οὔτε κατὰ τὰ ἔργα.

116. Ἀλλὰ καὶ ὥς.] Ἀλλὰ καὶ ὅμως. Ἐθέλω.] Θέλω, βούλομαι. Δόμεναι.] Δοῦναι. Πάλιν.] Εἰς τοὐπίσω. Εἰ τόγ' ἄμεινον.] Εἰ τοῦτο βέλτιον.

117. Σόον ἔμμεναι.] Σῶον εἶναι, καὶ σώζεσθαι. Λαόν.] Ὄχλον, πλῆθος.

118. Αὐτὰρ ἐμοί.] Ἐμοὶ δέ. Αὐτίκα.] Παραχρῆμα, εὐθέως. Ἑτοιμάσατ'.] Ἑτοιμάσατε, ἑτοίμην ποιήσατε. Ὄφρα μὴ οἶος.] Ὅπως μὴ μόνος.

119. Ἀργείων.] Τῶν Ἑλλήνων. Ἀγέραστος.] Ἄνευ γερῶν, ἄνευ τιμῆς. Ἔω.] Ὑπάρχω. Ἐπεὶ οὐδὲ ἔοικεν.] Οὐδὲ ἔοικεν. Οὐδὲ γὰρ πρέπει.

120. Λεύσσετε.] Ὁρᾶτε, βλέπετε. Τόγε.] Τοῦτο. Ὅ μοι.] Ὅτι μοι. Ἔρχεται.] Ἀπέρχεται. Ἄλλῃ.] Ἀλλαχοῦ.

121. Ἔπειτα.] Μεταταῦτα. Ποδάρκης.] Ἤτοι ὁ τοῖς ποσὶ ταχύς, ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, ἰσχυρός.

122. Κύδιστε.] Ἐνδοξότατε. Φιλοκτεανώτατε.] Φιλοχρηματώτατε.

123. Πῶς γάρ τοι.] Πῶς γάρ σοι. Μεγάθυμοι.] Μεγαλόψυχοι, γενναῖοι.

124. Οὐδέ τι πω ἴδμεν.] Οὐδὲ ἐπιστάμεθα. Ξυνήϊα.] Κοινὰ χρήματα. Κείμενα.] Ἀποκείμενα.

125. Τά.] Ἅτινα. Ἐξεπράθομεν.] Ἐξεπορθήσαμεν. Τὰ δέδασται.] Ταῦτα μεμέρισται.

126. Λαοὺς δ'.] Τοὺς ὄχλους δέ. Οὐκ ἐπέοικε.] Οὐ προσῆκόν ἐστι. Παλίλλογα.] Παλισύλλεκτα. ἀντὶ τοῦ, οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. Ἐπαγείρειν.] Ἐπισυναθροίζειν.

127. Ἀλλὰ σὺ μὲν νῦν.] Ἀλλὰ σὺ ἐπὶ τοῦ παρόντος, ὦ Ἀγα-

Τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν, αἴ κέ ποθι Ζεὺς
Δῶσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
Μηδ' οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Ἀχιλλεῦ,
Κλέπτε νόῳ· ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με πείσεις.
Ἦ ἐθέλεις, ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὔτως
Ἧσθαι δευόμενον; κέλεαι δέ με τήνδ' ἀποδοῦναι;
Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ,
Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται·
Εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἢ τεὸν, ἢ Αἴαντος, ἰὼν γέρας, ἢ Ὀδυσῆος
Ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.

μεμνον. Πρόες.] Πρόπεμψον Θεῷ.] Τῷ Ἀπόλλωνι. Αὐτὰρ Ἀχαιοί.] Οἱ δὲ Ἕλληνες.

128. Τριπλῇ τετραπλῇ τ'.] Τριπλασίονα καὶ τετραπλασίονα. Αἴ κέ ποθι Ζεύς.] Ἐάν ποτε ὁ Ζεύς.

129. Δῶσι.] Παράσχῃ. Πόλιν Τροίην.] Τρωϊκὴν πόλιν. λέγει δὲ τὴν Ἴλιον. Εὐτείχεον.] Καλῶς τετειχισμένην. διὰ τὸ, ὑπὸ θεῶν τετειχίσθαι καθ' Ὅμηρον Ποσειδῶνος καὶ Ἀπόλλωνος. Ἐξαλαπάξαι.] Ἐκπορθῆσαι.

130. Κρείων.] Βασιλεὺς, ἄναξ.

131. Μηδ' οὕτως.] Μηδὲ οὕτως. Ἀγαθός περ ἐών.] Καίτοι γενναῖος ὑπάρχων. Θεοείκελ'.] Θεοῖς τὸ εἶδος ὅμοιε. ὅ ἐστι τὸ κάλλος.

132. Κλέπτε νόῳ.] Παραλογίζου τῇ διανοίᾳ. Ἐπεί.] Ἐπειδή. Οὐ παρελεύσεαι.] Οὐ παρέλθῃς, οὐ νικήσεις με. ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ παρελθὼν νικᾷ.

133. Ἦ ἐθέλεις.] Ἦ βούλει. Ὄφρ' αὐτός.] Ὅπως αὐτός. Αὐτὰρ ἐμ' αὔτως.] Ἐμὲ δὲ ματαίως.

134.] Ἧσθαι.] Καθέζεσθαι. Δευόμενον.] Ἐνδεόμενον, χρήζοντα. Κέλεαι δέ με.] Κελεύεις δέ με.

135. Ἀλλ' εἰ μὲν.] Ἀλλ' ἐὰν μὲν. Δώσουσι.] Παράσχωσι. Μεγάθυμοι.] Μεγαλόψυχοι, γενναῖοι.

136.] Ἄρσαντες κατὰ θυμόν.] Ἁρμόσαντες κατὰ τὴν ψυχήν. τουτέστιν, ἀρεστὸν καὶ θυμῆρες ποιήσαντες. Ἀντάξιον.] Ἴσον τῇ τιμῇ, ἄξιον, ἰσότιμον. Ἔσται.] Γένηται.

137. Εἰ δέ κε μὴ δώωσιν.] Εἰ δὲ μὴ παράσχωσιν. Ἐγὼ δέ κεν.] Ἐγὼ δ' ἄν. Αὐτὸς ἕλωμαι.] Αὐτὸς ἀφέλωμαι.

138. Ἢ τεόν.] Ἢ τὸ σὸν, ὅ ἐστι τὴν Βρισηΐδα. Ἢ Αἴαντος γέρας.] Τέκμησαν λέγει τὴν Τελεύταντος θυγατέρα. Ἰών.] Παραγενόμενος. Ἢ Ὀδυσῆος.] Λαοδίκην λέγει τὴν Κύκνου θυγατέρα. ταῦτα δὲ αἰνιγματωδῶς φησι· τὸ δὲ ὅλον ἀποτείνεται πρὸς Ἀχιλλέα.

139. Ἄξω.] Ἀπάξω. Ἑλών.] Λαβών. Ὁ δέ κεν.] Οὗτος δὲ ἄν.

Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις·
Νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
Ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
Θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρηον
Βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
Ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεύς·
Ἠὲ σὺ, Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν,
Ὄφρ' ἡμῖν ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀ-(χιλλεύς,
Ὤ μοι, ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
Πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,
Ἢ ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;

Κεχολώσεται.] Ὀργισθήσεται. Ὃν κεν ἵκωμαι.] Ἐφ' ὃν ἂν παραγένωμαι, ἐφ' ὃν ἔλθω.

140. Ἀλλ' ἤτοι μὲν ταῦτα.] Ἀλλὰ περὶ μὲν τούτων. Μεταφρασόμεσθα.] Καὶ ἐν ὑστέρῳ βουλευσόμεθα. Καὶ αὖτις.] Καὶ πάλιν·

141. Νῦν δ' ἄγε.] Νῦν δὲ ἄγε δή. Νῆα.] Ναῦν. Μέλαιναν.] Βαθεῖαν ἢ πίσσῃ κεχρισμένην. Ἐρύσσομεν.] Καθελκύσωμεν, ἐμβάλωμεν. Εἰς ἅλα.] Εἰς τὴν θάλασσαν. Δῖαν.] Θείαν, ἢ θαυμαστήν.

142. Ἐς δ' ἐρέτας.] Εἰς αὐτὴν δὲ κωπηλάτας. Ἐπιτηδές.] Ἐπιτηδείους. Ἀγείρομεν.] Συναθροίσωμεν.

143. Ἂν δ' αὐτήν.] Καὶ αὐτὴν δέ. Καλλιπάρηον.] Καλὰς παρειὰς ἔχουσαν.

144. Ἀναβήσομεν.] Ἀναβιβάσωμεν, ἐμβάλομεν. Ἀρχός.] Ἀρχηγὸς, ἡγεμών. νῦν δὲ, ναύαρχος. Βουληφόρος.] Βουλευτής. Ἔστω.] Γενέσθω.

146. Ἠὲ σύ.] Ἢ σύ. Πηλείδη.] Πηλέως παῖ Ἀχιλλεῦ. Ἐκπαγλότατε.] Ἐκπληκτικώτατε, φοβερὲ, ἢ ἐξοχώτατε.

147. Ὄφρ' ἡμῖν.] Ὅπως ἡμῖν. Ἑκάεργον.] Πόῤῥωθεν εἴργοντα, ἢ πόῤῥωθεν ἐργαζόμενον, τοξότην. Ἱλάσσεαι.] Ἐξιλεώσῃς, λιτανεύσῃς. Ἱερά.] Ἱερεῖα, θυσίας. Ῥέξας.] Ἱερουργήσας, θύσας.

148. Τὸν δ' ἄρ'.] Τοῦτον δὲ δή. Ὑπόδρα ἰδών.] Δεινὸν ὑποβλεψάμενος. Προσέφη.] Προσεῖπε, προσεφθέγξατο.

149. Ὤ μοι.] Φεῦ μοι. ἔστι δὲ ἀναφώνημα, καὶ ἐπίῤῥημα λύπης δηλωτικόν. Ἀναιδείην.] Ἀναισχυντίαν. Ἐπιειμένε.] Ἠμφιεσμένε, περιβεβλημένε. Κερδαλεόφρον.] Πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων, τουτέστι κερδαίνειν φρονῶν.

150. Πρόφρων.] Προθύμως. Ἔπεσι.] Λόγοις. Πείθηται.] Πεισθείη.

151. Ἶφι] Ἰσχυρῶς, γενναίως. Μάχεσθαι.] Πολεμῆσαι.

Οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
Δεῦρο μαχησόμενος· ἐπεὶ οὔτι μοι αἴτιοί εἰσιν.
Οὐ γάρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους,
Οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
Καρπὸν ἐδηλήσαντ'· ἐπειὴ μάλα πολλὰ μεταξὺ
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα·
Ἀλλά σοι, ὦ μέγ' ἀναιδὲς, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ (χαίρῃς,
Τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε, κυνῶπα,
Πρὸς Τρώων· τῶν οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις·
Καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
Ὧ ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
Οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον.

152. Οὐ γὰρ ἐγώ.] Οὐδαμῶς γὰρ ἐγώ. Τρώων ἕνεκεν.] Ἕνεκα τῶν Τρώων. Ἤλυθον.] Παρεγενόμην. Αἰχμητάων.] Πολεμικῶν.

153. Δεῦρο.] Ἐνταῦθα. Μαχησόμενος.] Μαχούμενος, πολεμήσων. Ἐπεὶ οὔτι μοι αἴτιοί εἰσιν.] Ἐπειδὴ οὐδαμῶς, καὶ κατ' οὐδέν μοι αἴτιοί εἰσιν.] Ἐπειδὴ οὐδαμῶς, καὶ κατ' οὐδέν μοι αἴτιοι ὑπάρχουσιν.

154. Οὐ γὰρ πώποτε.] Οὐδέ ποτε γάρ.

155. Οὐδέ ποτε.] Οὐδαμῶς, οὐδέποτε. Ἐν Φθίῃ.] Φθία πόλις Θεσσαλίας παραθαλασσία, πατρὶς Ἀχιλλέως. Ἐριβώλακι.] Μεγαλοβώλῳ, εὐγείῳ. Βωτιανείρῃ.] Ἄνδρας βοσκούσῃ, ἢ τρεφούσῃ.

156. Ἐδηλήσαντο.] Ἔβλαψαν. Ἐπειὴ μάλα] Ἐπειδὴ πάνυ. Μεταξύ.] Ἀναμέσον.

157. Οὔρεά τε.] Καὶ ὄρη. Ἰὰς ἡ διάλεκτος. Σκιόεντα.] Σύσκια, σκιὰν ἀποτελοῦντα. Ἠχήεσσα.] Ἠχητικὴ, ἀπὸ τοῦ τῶν κυμάτων κινήσεως.

158. Ὦ μέγ' ἀναιδές.] Ὦ μεγάλως ἀναιδέστατε. Ἅμ' ἑσπόμεθα.] Ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἠκολουθήσαμεν. Ὄφρα σὺ χαίρῃς.] Ὅπως σὺ εὐφραίνῃ.

159. Τιμήν.] Τιμωρίαν τῶν Τρώων ὑπὲρ Μενελάου. Ἀρνύμενοι.] Ἀντικαταλλασσόμενοι, λαμβάνοντες. Σοί τε κυνῶπα] Ἀντὶ τοῦ, ὑπὲρ σοῦ, ὦ ἀναιδέστατε.

160. Πρὸς Τρώων.] Παρὰ τῶν Τρώων. Τῶν οὔτι.] Ὧν, εὐεργεσιῶν δηλαδὴ, οὐδέν. Μετατρέπε.] Ἐπιστροφὴν ποιῇ, ἢ φροντίζεις. Οὐδ' ἀλεγίζεις.] Οὐδὲ λόγον ποιῇ τινά.

161. Ἀφαιρήσεσθαι.] Ἀφελέσθαι. Ἀπειλεῖς.] Ὑπισχνῇ, λέγεις.

162. Ἐμόγησα.] Ἐκοπίασα, ἐκακοπάθησα. Δόσαν δέ μοι.] Παρέσχον δέ μοι αὐτό. Υἷες Ἀχαιῶν.] Περιφραστικῶς, οἱ Ἕλληνες.

163. Οὐ μὲν σοί ποτε.] Οὐδέ ποτε μέν σοι. Ἶσον.] Ἐξίσου, ὅμοιον.

164. Ἐκπέρσωσιν.] Ἐκπορθήσωσι, καταστρέψωσιν. Εὐναιόμενον.]

Καλῶς

Ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
Χεῖρες ἐμαὶ διέπουσ'· ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
Σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε
Ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπὴν κεκάμω πολεμίζων.
Νῦν δ' εἶμι Φθίηνδ'· ἐπειὴ πολὺ φέρτερόν ἐστιν
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν· οὐδέ σ' ὀΐω,
Ἐνθάδ' ἄτιμος ἐὼν, ἄφενος καὶ πλοῦτον ἀφύξειν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται· οὐδέ σ' ἔγωγε
Λίσσομαι, εἵνεκ' ἐμεῖο μένειν· πάρ' ἔμοιγε καὶ ἄλλοι,
Οἵ κέ με τιμήσουσι· μάλιστα δὲ μητίετα Ζεύς.
Ἔχθιστος δέ μοι ἐσσὶ διοτρεφέων βασιλήων,
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.
Εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τόγ' ἔδωκεν.

Καλῶς οἰκούμενον. Πτολίεθρον.] Πόλισμα. πόλιν.

165. Πλεῖον.] Πλεῖστον. Πολυάϊκος.] Πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος, ἀστάτου.

166. Χεῖρες ἐμαὶ διέπουσιν.] Αἱ ἐμαὶ χεῖρες διοικοῦσιν. Δασμός.] Μερισμὸς, τῶν λαφύρων δηλονότι. Ἵκηται.] Παραγένηται.

167. Ὀλίγον τε φίλον τε.] Ἐμοὶ ἐλάχιστόν τι ἔρχεται, καὶ τοῦτο προσφιλὲς ἡγοῦμαι.

168. Ἐπὴν κεκάμω πολεμίζων.] Καὶ ταῦτα, ἐπειδὰν κακοπαθήσω πολεμῶν.

169. Νῦν δ' εἶμι Φθίην δέ.] Νῦν οὖν πορεύομαι εἰς τὴν Φθίαν. Ἐπειή.] Ἐπειδή. Πολὺ φέρταρον.] Κατὰ πολὺ κρεῖσσον, βέλτιον. Ἐστίν.] Ὑπάρχει.

170. Οἴκαδ' ἴμεν.] Εἰς τὸν οἶκον παραγενέσθαι. Σὺν νηυσί. Σὺν ταῖς ναυσί. Οὐδέ σ' ὀΐω.] Οὐχ ὑπολαμβάνω δέ σε.

171. Ἐνθάδ' ἄτιμος ἐών.] Ἐνταῦθα ἀτιμαζόμενος. Ἄφενος.] Πλοῦτον. Ἀφύξειν.] Ἀπαντλήσειν, περισωρεύσειν.

173. Μάλα.] Λίαν, πάνυ. Εἴ τοι θυμός. Εἰ ἡ ψυχή σου. Ἐπέσσυται.] Ἐφορμᾶται, ἐπέρχεται, ἐπιθυμεῖ. Οὐδέ σ' ἔγωγε.] Οὐ γὰρ ἐγώ σε.

174. Λίσσομαι.] Λιτανεύω, παρακαλῶ. Εἵνεκ' ἐμείω.] Ἕνεκα ἐμοῦ. Παρ' ἐμοί γε.] Πάρεισι γάρ μοι.

175. Οἵ κέ με.] Οἵ τινες ἂν ἐμέ. Τιμήσουσι.] Τιμῆς ἀξιώσουσι. Μάλιστα δέ.] Ἐξαιρέτως δέ. Μητίετα. Ἀντὶ τοῦ μητιέτης, ὅ ἐστι βουλευτικός.

176. Ἔχθιστος.] ὁ ἐχθρότατος. Ἐσσί.] Ὑπάρχεις.

177. Αἰεὶ γάρ τοι.] Διαπαντὸς γάρ σοι. Ἔρις τε.] Φιλονεικία. Φίλη.] Προσφιλής.

178. Εἰ μάλα.] Ἐὰν πάνυ. Καρ-

Οἴκαδ' ἰὼν, σὺν νηυσί τε σῇς, καὶ σοῖς ἑτάροισι,
Μυρμιδόνεσσιν ἄνασσε· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
Οὐδ' ὄθομαι κοτέοντος· ἀπειλήσω δέ τοι ὧδε·
Ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
Τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισι
Πέμψω· ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον
Αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας· ὄφρ' εὖ εἰδῇς,
Ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
Ἶσον ἐμοὶ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην.
Ὣς φάτο· Πηλείωνι δ' ἄχος γένετ'· ἐν δέ οἱ ἦτορ
Στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,
Ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρείδην ἐναρίξοι,

Καρτερός.] Ἰσχυρὸς, γενναῖος. Τόγ' ἔδωκεν.] Τοῦτο παρέσχεν.

179. Οἴκαδ' ἰών.] Εἰς τὸν οἶκόν σου παραγενόμενος. Σὺν νηυσί τε σῇς.] Σὺν ταῖς σαῖς ναυσί. Σοῖς ἑτάροισι.] Καὶ τοῖς σοῖς ἑταίροις τοῖς Μυρμιδόσι λέγει.

180. Σοῦ δὲ ἐγώ.] Οὐκ ἀλεγίζω.] Λόγον οὐ ποιοῦμαι, οὐ φροντίζω.

181. Οὐδ' ὄθομαι] Οὐδὲ ἐπιστροφὴν ποιοῦμαι. Κοτέοντος.] Ὀργιζομένου. Ἀπειλήσω δέ τοι.] Ἀπειλήσω δέ σοι. Ὧδε.] Οὕτως.

182. Ὡς ἔμ' ἀφαιρεῖται.] Ὥσπερ ἐμοῦ λαμβάνει.

183. Τὴν μὲν ἐγώ.] Ταύτην μὲν ἐγώ.

184. Πέμψω.] Ἀποπέμψω. Ἐγὼ δὲ κ' ἄγω.] Ἐγὼ δὲ ἀπαγάγω.

185. Αὐτὸς ἰών.] Δι' ἐμαυτοῦ παραγενόμενος. Κλισίηνδε.] Εἰς τὴν σκηνήν. Ὄφρ' εὖ εἰδῇς.] Ὅπως σαφῶς μάθῃς.

186. Ὅσον.] Ὁπόσον. Φέρτερος.] Κρείσσων. Εἰμί.] Ὑπάρχω. Σέθεν.] Σοῦ. Στυγέῃ δέ.] Μισήσῃ, εὐλαβηθῇ.

187. Ἶσον ἐμοὶ φάσθαι.] Ἰσηγορῆσαί μοι, τουτέστιν ἐξίσου πρὸς ἐμὲ λέγειν. Καὶ ὁμοιωθήμεναι.] Καὶ ἐξισωθῆναι. Ἄντην.] Ἐξεναντίας.

188. Ὣς φάτο.] Οὕτως εἶπεν. Πηλείωνι.] Τῷ Πηλέως παιδὶ Ἀχιλλεῖ. Ἄχος γένετο.] Λύπη ἐγένετο. Ἐν δέ οἱ ἦτορ.] Ἡ δὲ ψυχὴ αὐτοῦ.

189. Στήθεσσι λασίοισιν.] Ἐν τοῖς δασέσι καὶ συνετοῖς. Διάνδιχα.] Διχῶς. Μερμήριξεν.] Ἐμερίμνησεν, ἐνεθυμήθη.

190. Ἢ ὅγε.] Ἤπερ οὗτος. Φάσγανον.] Ξίφος. Ἐρυσσάμενος.] Σπασάμενος, ἑλκύσας.

191. Τοὺς μέν.] Ἀντὶ τοῦ, τοὺς μὲν Ἕλληνας. Ἀναστήσειεν.] Ἀναστάτους, καὶ ἐν ταραχῇ ποιήσειε, τοῦτ' ἔστι φυγάδας καταστήσειεν. Ἐναρίξοι.] Φονεύσοι.

Ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε, κηδομένη τε·
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.
Θάμβησεν δ' Ἀχιλεὺς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ'
Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν (ἔγνω
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Τίπτ' αὖτ' Αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας;
Ἦ, ἵνα ὕβριν ἴδῃς Ἀγαμέμνονος Ἀτρείδαο;
Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελέσθαι ὀΐω,
Ἧις ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ.

192. Ἠὲ χόλον παύσειεν.] Ἢ τὴν μανίαν παύσειεν. Ἐρητύσειέ τε θυμόν.] Καὶ ἐπίσχῃ τὴν ὀργήν.

193. Ὥρμαινε.] Ἐνεθυμεῖτο, διενοεῖτο. Κατὰ φρένα.] Κατὰ τὸν νοῦν. Καὶ κατὰ θυμόν.] Καὶ κατὰ τὴν διάνοιαν.

194. Ἐκ κολεοῖο.] Ἐκ τῆς ξιφοθήκης.

195. Πρὸ γὰρ ἧκε.] Προέπεμψε γὰρ αὐτήν.

196. Ἄμφω.] Ἀμφοτέρους. Ὁμῶς.] Ὁμοίως. Θυμῷ.] Τῇ ψυχῇ. Κηδομένη τε.] Καὶ φροντίζουσα.

197. Ξάνθης δέ.] Καλῆς, πυρρᾶς. Κόμης.] Τῆς τριχώσεως. Ἕλε.] Ἔλαβεν.

198. Οἴῳ φαινομένη.] Μόνῳ αὐτῷ φαινομένη, καὶ ὁρωμένη. Τῶν δ' ἄλλων.] Τῶν δὲ λοιπῶν. Οὔτις ὁρᾶτο.] Οὐδεὶς ἑώρα καὶ ἔβλεπε.

199. Θάμβησεν.] Ἐφοβήθη, ἐξεπλάγη.] Μετὰ δ' ἐτράπετο.] Καὶ περιεστράφη. Αὐτίκα δ' ἔγνω.] Παραχρῆμα δὲ ἐπέγνω.

200. Παλλάδα.] Τὴν Ἀθηνᾶν. Δεινὼ δέ οἱ.] Φοβερὼ δὲ αὐτῷ δυϊκῶς. Ὄσσε.] Ὄμματα, ὀφθαλμοί. Φάανθεν.] Ἐφάνησαν.

201. Καί μιν.] Καὶ αὐτήν. Φωνήσας.] Προσειπών. καλέσας. Ἔπεα πτερόεντα.] Λόγους ταχεῖς. λόγου γὰρ οὐδὲν ταχύτερον. Προσηύδα.] Προσεῖπεν.

202. Τίπτ' αὖτ'.] Τί δή ποτε. Αἰγιόχοιο.] Αἰγίδα ἔχοντος. Αἰγὶς δέ ἐστιν ὅπλον Διὸς ἡφαιστότευκτον. Εἰλήλουθας.] Ἐλήλυθας, παρεγένου. ἡ δὲ διάλεκτος Ἰώνων.

203. Ἦ ἵνα.] Ἢ ὅπως. Ὕβριν.] Νῦν τὸν φόνον, ἢ μᾶλλον τὴν ἀλαζονείαν.

204. Ἀλλ' ἔκ τοι ἐρέω.] Ἀλλ' ἐρῶ δή σοι. Τὸ δὲ καὶ τετελέσθαι ὀΐω.] Ὅπερ καὶ πληρωθήσεσθαι ὑπολαμβάνω.

205. Ἧις ὑπεροπλείῃσι.] Ταῖς ἰδίαις ὑπερηφανίαις. Τάχ' ἄν ποτε.]

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἦλθον ἐγὼ παύσουσα τεὸν μένος, αἴ κε πίθηαι,
Οὐρανόθεν. πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε, κηδομένη τε.
Ἀλλ' ἄγε, λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί.
Ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον, ὡς ἔσεταί περ.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
Καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα,
Ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Χρὴ μὲν σφωΐτερόν γε θεὰ ἔπος εἰρύσασθαι,
Καὶ μάλα περ θυμῷ κεχολωμένον· ὡς γὰρ ἄμεινον.
Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.
Ἦ, καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν·
Ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε

τε.] Ταχέως ἂν πόλε. Ὀλέσσῃ.] Ἀπολέσῃ.

206. Τὸν δ' αὖτε.] Τοῦτον δὲ πάλιν. Προσέειπε.] Προσεῖπεν. Γλαυκῶπις.] Ἡ γλαυκόφθαλμος, ἢ γλαυκοὺς καὶ καταπληκτικοὺς ὦπας ἔχουσα.

207. Ἦλθον.] Παρεγενόμην. Παύσουσα.] Καταπαύσουσα. Τεὸν μένος.] Τὴν σὴν ὀργήν. Αἴ κε πίθεαι.] Ἐὰν πειθῇς ἐμοί.

210. Ἀλλ' ἄγε.] Ἀλλὰ φέρε. ἔστι δὲ ἐπίῤῥημα παρακελεύσεως. Λῆγε.] Παῦε. Ἔριδος.] Φιλονεικίας.

211. Ἀλλ' ἤτοι ἔπεσιν μέν.] Διὰ μὲν λόγων.] Ὀνείδισον.] Ὕβρισον. Ὡς ἔσεταί περ.] Ὥσπερ καὶ γενήσεται.

212. Ὧδε γάρ.] Οὕτως γάρ. Ἐξερέω.] Ἐρῶ, λέξω. Τὸ δὲ καὶ τετελεσμένον ἔσται.] Ὅπερ καὶ τελειωθήσεται.

213. Τρὶς τόσα.] Πολλάκις τοσαῦτα. Παρέσσεται.] Δοθήσεται. Ἀγλαά.] Καλά.

214. Ὕβριος εἵνεκα τῆσδε.] Ὑπὲρ ταύτης τῆς ὕβρεως, ἡ διάλεκτος Ἰάς. Σὺ δ' ἴσχεο.] Σὺ δὲ παύου. Πείθεο δ' ἡμῖν.] Καὶ πείθου ἡμῖν.

216. Χρή.] Προσῆκόν ἐστι, πρέπει. Σφωΐτερον.] Ὑμέτερον. Εἰρύσασθαι.] Φυλάξαι.

217. Καὶ μάλα.] Καὶ πάνυ. Κεχολωμένον.] Ὠργισμένον. Ὡς γὰρ ἄμεινον.] Οὕτω γὰρ βέλτιον.

218. Ὅσκεν.] Ὃς ἄν. Ἐπιπείθηται.] Πείθηται, ἀκούσῃ. Μάλα τ' ἔκλυον αὐτοῦ.] Λίαν ἐπακούουσιν αὐτοῦ.

219. Ἦ.] Ἔφη, εἶπεν. Ἀργυρέῃ.] Ἀργυρᾷ, καλῇ. Κώπῃ.] Τῇ λαβίδι τοῦ ξίφους. Σχέθε.] Ἐπέσχεν. ἐπέβαλεν.

220. Ἄψ.] Πάλιν, εἰς τοὐπίσω.

Μύθῳ Ἀθηναίης. ἡ δ' οὔλυμπόνδε βεβήκει,
Δώματ' ἐς αἰγιόχοιο Διὸς, μετὰ δαίμονας ἄλλους.
Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρείδην προσέειπε, καὶ οὔπω λῆγε χόλοιο·
Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
Οὔτε ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι,
Οὔτε λόχονδ' ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
Τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
Ἦ πολὺ λώϊόν ἐστι, κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Δῶρ' ἀποαιρεῖσθαι, ὅστις σέθεν ἀντίον εἴποι·
Δημοβόρος βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
Ἦ γὰρ ἂν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο.

Βαρεῖαν.] Ἰσχυρὰν, μεγάλην. Ὦσεν.] Ἀπεώσατο, ἀνέβαλεν. Οὐδ' ἀπίθησεν.] Οὐδ' ἠπείθησεν, ἀλλ' ἐπείσθη.

221. Μύθῳ.] Τῷ λόγῳ. Ἀθηναίης.] Τῆς Ἀθηνᾶς. Ἡ δέ.] Αὕτη δέ. Οὔλυμπόν δέ.] Εἰς τὸν ὄλυμπον. Βεβήκει.] Ἀπεληλύθει.

222. Μετὰ δαίμονας·] Ἐπὶ τοὺς θεούς.

223. Ἐξαῦτις.] Ἐκ δευτέρου, εὐθέως, παραυτά. Ἀταρτηροῖς,] Ἀτηροῖς, χαλεποῖς. Ἐπέεσσιν.] Ἔπεσι, λόγοις.

224. Λῆγε.] Ἐπαύετο. Χόλοιο.] Τῆς ὀργῆς.

225. Οἰνοβαρές.] Οἰνοβεβαρημένε, μέθυσε. Κυνὸς ὄμματ' ἔχων.] Ἀντὶ τοῦ, ἀναιδέστατε ὡς κύων. Κραδίην δ' ἐλάφοιο.] Τὴν δὲ καρδίαν ἐλάφου. τοῦτ' ἔστι, δειλὲ ὡς ἔλαφος.

226. Ἅμα λαῷ.] Ἅμα τῷ ὄχλῳ. Θωρηχθῆναι.] Καθοπλισθῆναι.

227. Λόχον.] Ἐνέδραν. Ἰέναι.] Παραγίνεσθαι. Σὺν ἀριστήεσι.] Σὺν τοῖς ἀρίστοις ἡγεμόσι.

228. Τέτληκας.] Κεκαρτέρηκας, ὑπομεμένηκας. Θυμῷ.] Τῇ ψυχῇ. Κήρ.] Θάνατος. τοῦτο γάρ φησι τὸ ἐν πολέμῳ ἢ λόχῳ εὑρεθῆναι, ὡς θάνατος μισητόν σοι φαίνεται. Εἴδεται.] Φαίνεται, δοκεῖ.

229. Ἦ πολὺ λώϊον.] Ἀλλ' ὄντως δή σοι τοῦτο καλὸν εἶναι νομίζεται. Κατὰ στρατόν.] Κατὰ τὸ στρατόπεδον. Εὐρύν.] Πλατὺν καὶ μέγιστον.

230. Δῶρ' ἀποαιρεῖσθαι.] Τὰ παρ' ἄλλῳ τινὶ διδόμενα δῶρα ἀφαιρεῖσθαι.] Ὅστις σέθεν.] Ὅστις σοῦ. Ἀντίον.] Ἐξ ἐναντίας.

231. Δημοβόρος.] Ὁ τὰ δημόσια κατεσθίων. Οὐτιδανοῖσιν.] Οὐδενὸς λόγου ἀξίοις, ἀσθενέσιν· Ἀνάσσεις.] Βασιλεύεις.

232. Ἦ γὰρ ἂν, Ἀτρείδη.] Ὄντως γὰρ δὴ, υἱὲ τοῦ Ἀτρέως Ἀγάμεμνον. Ὕστατα λωβήσαιο.] Ὑστάτην ἂν ταύτην τὴν ὕβριν εἰργάσω, φονευθεὶς ἐν αὐτῇ ὑπὸ πάντων, βλάβεις, ὑβρισθείς.

Ἀλλ' ἔκ τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους
Φύσει, ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
Οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε
Φύλλα τε καὶ φλοιόν. νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
Ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵτε θέμιστας
Πρὸς Διὸς εἰρύαται· ὁ δέ τοι μέγας ἔσσεται ὅρκος·
Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
Ξύμπαντας· τοῖς δ' οὔτι δυνήσεαι ἀχνύμενός περ,
Χραισμεῖν, εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Θνήσκοντες πίπτωσι· σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις
Χωόμενος, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.

233. Ἀλλ' ἔκ τοι ἐρέω.] Ἀλλ' ἐρῶ δή σοι. Ὀμοῦμαι.] Ὀμόσω. ἐπόμνυσθαί ἐστι, τό, ὑπισχνούμενον ὀμόσαι. ἀπομνύναι δὲ, τὸ ἀποφάσκειν.

234. Τὸ μὲν οὔ ποτε.] Ὅπερ οὐδέ ποτε ἄν. Ὄζους.] Κλάδους.

235.] Φύσει.] Ἀναβλαστήσει. Ἐπειδὴ πρῶτα.] Ἐπειδὴ ἅπαξ τὸ πρῶτον καὶ τὴν ἀρχήν. Τὸ μὴν ἐν ὄρεσσι λέλοιπε.] Τὴν τμῆσιν. ὅ ἐστι, τὴν ῥίζαν αὐτοῦ τμηθέντα ἐν τῷ ὄρει κατέλειψε.

236. Οὐδ' ἀναθηλήσει.] Οὐδ' ἀναβλαστήσει. Περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε.] Περιελέπισε γὰρ αὐτὸ ὁ σίδηρος, ὅ ἐστιν, ἔγλυψε.

237. Φύλλα τε καὶ φλοιόν.] Τά τε φύλλα καὶ τὸν φλοιόν. φλοιὸς δέ ἐστι τὸ καλύμμενον λέπος. Νῦν αὖτέ μιν.] Νῦν αὐτὸ πάλιν. Υἷες Ἀχαιῶν.] Περιφραστικῶς οἱ Ἕλληνες.

238. Ἐν παλάμῃς.] Ἐν ταῖς χερσί.] Φορέουσι.] Φοροῦσι, βαστάζουσι. Δικασπόλοι.] Οἱ περὶ τὰς δίκας ἀναστρεφόμενοι βασιλεῖς καὶ νόμους. Θέμιστας.] Δικαιοσύνας, νόμους.

239. Πρὸς Διός.] Παρὰ τοῦ Διός. Εἰρύαται.] Ῥύονται, φυλάσσουσι. τὸ δὲ ὅλον, οἵτινες τὰς δίκας, καὶ τοὺς νόμους παραλαβόντες φυλάττουσιν. Ὁ δέ τοι.] Οὗτος δέ σοι. Ἔσσεται.] Γενήσεται.

240. Ἦ ποτ' Ἀχιλλῆος.] Οὕτως δή ποτε ἐμοῦ τοῦ Ἀχιλλέως. Ποθή.] Πόθησις, ἐπιζήτησις. Ἵξεται.] Παραγενήσεται.

241. Ξύμπαντας.] Ὁμοῦ πάντας. Τοῖς δ' οὔτι.] Τούτοις δὲ οὐδέν. Δυνήσεαι.] Δυνήσῃ. Ἀχνύμενός περ.] Καίπερ λυπούμενος.

242. Χραισμεῖν.] Βοηθεῖν. Εὖτ' ἄν.] Ὁπότ' ἄν. Πολλοί.] Πλεῖστοι. Ὑφ' Ἕκτορος.] Ὑπὸ τοῦ Ἕκτορος. Ἀνδροφόνοιο.] Ἀνδροφόνου, πολεμικοῦ.

243. Θνήσκοντες.] Ἀποθνήσκοντες, πίπτοντες, νεκροί. Σὺ δ' ἔνδοθι.] Σὺ δὲ ἔσωθεν. Θυμόν.] Τὴν ψυχήν. Ἀμύξεις.] Σπαράξεις, πληγήσῃ.

244. Χωόμενος.] Λυπούμενος, ὀργι-

Ὣς φάτο Πηλείδης· ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
Χρυσείοις ἥλοισι πεπαρμένον· ἕζετο δ' αὐτός.
Ἀτρείδης δ' ἑτέρωθεν ἐμήνιε. τοῖσι δὲ Νέστωρ
Ἡδυεπὴς ἀνόρουσε, λιγὺς Πυλίων ἀγορητὴς,
Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.
Τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
Ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο
Ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισιν ἄνασσεν·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο, καὶ μετέειπεν.
Ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει.
Ἦ κεν γηθήσαι Πρίαμος, Πριάμοιό τε παῖδες,
Ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,

ὀργιζόμενος. Οὐδὲν ἔτισας.] Κατ' οὐδὲν ἐτίμησας.

245. Ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ.] Προσέβαλε δὲ καὶ προσέῤῥιψε τῇ γῇ τὸ σκῆπτρον διὰ τὴν ὀργήν. ἡ διάλεκτος Δωριέων.

246. Χρυσείοις ἥλοισι πεπαρμένων.] Χρυσοῦς ἥλους ἔχον, καὶ διαπεπερονημένων αὐτῷ ἠσφαλισμένον. Ἕζετο.] Ἐκαθέζετο.

247. Ἑτέρωθεν.] Ἐκ τοῦ ἑτέρου μέρους, ἐξεναντίας. Ἐμήνιε.] Ὠργίζετο.

248. Ἡδυεπής.] Ὁ ἡδὺς ἐν τῷ λέγειν. Ἀνόρουσεν.] Ἀνώρμησεν, ἀνέστη. Λιγύς.] Ἡδὺς, ἐν τῷ λέγειν ὀξύς. Πυλίων.] Τῶν τὴν Πύλον κατοικούντων. ἔστι δὲ ὄνομα ἔθνους. Ἀγορητής.] Δημηγόρος.

249. Τοῦ καὶ ἀπὸ γλώσσης.] Οὕτινος καὶ ἀπὸ τῆς γλώσσης. Γλυκίων.] Ἡδίων. Ῥέεν.] Ἔῤῥει, ἐφέρετο. διὰ τοῦ εἰπεῖν, ῥέει, ἐμφαίνει τὸ ῥητορικὸν τοῦ Νέστορος. Αὐδή.] Φωνή.

250. Μερόπων.] Μεμερισμένην τὴν φωνὴν ἐχόντων. ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ζώων. ὅ ἐστι, μεριζομένην εἰς συλλαβὰς, καὶ ἔναρθρον ἐχόντων τὴν ὄπα. τοῦτ' ἔστι, τὴν φωνήν.

251. Ἐφθίατο.] Ἐφθαρμέναι ἦσαν. Οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο.] Τουτέστιν, οἱ πρὸ τούτου γενόμενοι, καὶ οἱ ἅμα αὐτῷ τραφέντες. Ἠδ' ἐγένοντο.] Καὶ ἐγένοντο.

252. Ἠγαθέῃ.] Πάνυ θείᾳ.

253. Ὅς σφιν.] Ὃς ἐν αὐτοῖς. Εὐφρονέων.] Καλῶς φρονῶν. Ἀγορήσατο.] Ἐδημηγόρησε. Καὶ μετέειπε.] Καὶ εἶπεν.

254. Ὢ πόποι.] Φεῦ παπαί. ἔστι δὲ σχετλιαστικὸν ἐπίῤῥημα. ὅ ἐστι λύπης δηλωτικόν. Ἦ μέγα πένθος.] Ὄντως μεγάλη λύπη. Ἀχαιΐδα γαῖαν.] Τὴν Ἑλληνικὴν γῆν, τοὺς Ἕλληνας.

255. Ἦ κεν γηθήσαι.] Ὄντως ἂν χαρείη. Πριάμοιό τε παῖδες.] Καὶ οἱ τοῦ Πριάμου παῖδες, ἅμα τοῖς λοιποῖς Τρωσί.

256. Μέγα κεν.] Μεγάλως ἄν. Κεχαροίατο.] Χαρεῖεν.

257. Εἰ

Εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν,
Οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
Ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
Ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν
Ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵγ' ἀθέριζον.
Οὐ γάρ πω τοίους ἴδον ἀνέρας, οὐδὲ ἴδωμαι,
Οἷον Πειρίθοόν τε, Δρύαντά τε ποιμένα λαῶν,
Καινέα τ', Ἐξάδιόν τε, καὶ ἀντίθεον Πολύφημον,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισι.
Κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν·
Κάρτιστοι μὲν ἔσαν, καὶ καρτίστοις ἐμάχοντο
Φηρσὶν ὀρεσκῴοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον, ἐκ Πύλου ἐλθὼν,
Τηλόθεν ἐξ Ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί·
Καὶ μαχόμην κατ' ἐμαυτὸν ἐγώ· κείνοισι δ' ἂν οὔτις

257. Εἰ σφῶϊν.] Εἰ ὑμῶν. Τάδε πάντα.] Ταῦτα πάντα. Πυθοίατο.] Μάθοιεν. Μαρναμένοιϊν.] Μαχομένοιν.

258. Οἳ περὶ μὲν βουλῇ Δαναῶν.] Ἀντὶ τοῦ· οἵτινες διαφέρετε τῶν Ἑλλήνων καὶ ἐν τῷ βουλεύεσθαι. Περὶ δ' ἐστὲ μάχεσθαι.] Περισσῶς δὲ καὶ ὑπερβαλόντως ἐστὲ καὶ ὑπερέχετε καὶ ἐν τῷ πολεμεῖν.

259. Ἀλλὰ πίθεσθε.] Ἀλλὰ πείσθητε. Ἄμφω δέ.] Ἀμφότεροι δέ. Νεωτέρω.] Νεώτεροι, δυϊκῶς. Ἐστόν.] Ἐστὲ, ὑπάρχετε. Ἐμοῖο.] Ἐμοῦ.

260. Ἀρείοσι.] Βελτίοσι, κρείττοσιν. Ἠέπερ ὑμῖν.] Ἢ ὑμῖν.

261. Ὡμίλησα.] Συνανεστράφην. Ἀθέριζον.] Ἠπείθουν, ἀπεδοκίμαζον.

262. Τοίους.] Τοιούτους. Ἴδον.] Ἐθεασάμην. Ἀνέρας.] Ἄνδρας. Οὐδὲ ἴδωμαι.] Οὐδὲ ἰδεῖν δυνήσομαι.

263 Οἷον.] ποῖον. Ποιμένα λαῶν.] Βασιλέα ὄχλων.

264. Ἀντίθεον.] Ἰσόθεον.

266. Κάρτιστοι.] Ἰσχυρότατοι, γενναῖοι. Κεῖνοι.] Ἐκεῖνοι. Ἐπιχθονίων.] Ἐπιγείων. Τράφεν.] Ἐτράφησαν.

267. Ἔσαν.] Ἦσαν, ὑπῆρχον.

268. Φηρσί.] Θηρσὶ, θηρίοις: λέγει δὲ τοῖς Κενταύροις. Ὀρεσκῴοισι.] Τοῖς ἐν ὄρεσι διαιτωμένοις. Ἐκπάγλως.] Ἐκπληκτικῶς. ὅ ἐστι, κατὰ κράτος αὐτοὺς ἐξαπώλεσαν.

269. Καὶ μὲν τοῖσιν ἐγώ.] Καὶ τούτοις μὲν ἐγὼ τοῖς περὶ τὸν Πειρίθουν. Μεθομίλεον.] Συνανεστρεφόμην, συνεμαχόμην.

270. Τηλόθεν.] Πόῤῥωθεν, μακρόθεν ὢν ἀπὸ τῆς Πύλου. Ἐξ Ἀπίης γαίης.] Ἐκ τῆς ἀλλοδαπῆς, καὶ μακρὰν ἀπεχούσης γῆς.

271. Καὶ μαχόμην.] Καὶ ἐπολέμουν. Κατ' ἐμαυτόν.] Κατὰ τὴν

ἐμαυτοῦ

Τῶν, οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι, μαχέοιτο·
Καὶ μέν μευ βουλέων ξύνιον, πείθοντό τε μύθῳ.
Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
Μήτε σὺ τόνδ', ἀγαθός περ ἐὼν, ἀποαίρεο κούρην,
Ἀλλ' ἔα, ὥς οἱ πρῶτα δόσαν γέρας υἷες Ἀχαιῶν·
Μήτε σὺ, Πηλείδη, 'θελ' ἐριζέμεναι βασιλῆϊ
Ἀντιβίην· ἐπεὶ οὔποθ' ὁμοίης ἔμμορε τιμῆς
Σκηπτοῦχος βασιλεὺς, ᾧτε Ζεὺς κῦδος ἔδωκεν·
Εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
Ἀλλ' ὅγε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρείδη, σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
Λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων,

ἐμαυτοῦ δύναμιν. Κείνοισι δ' ἂν οὔτις.] Πρὸς ἐκείνους δὲ οὐδεὶς ἴσχυε τῶν νῦν ὄντων ἀνθρώπων.

272. Βροτοί.] Ἄνθρωποι φθαρτοί. ἡ μεταφορὰ.] Ἀπὸ τῶν ἐδεσμάτων. Ἐπιχθόνιοι.] Ἐπίγειοι. χθὼν γὰρ ἡ γῆ. Τῶν.] Τούτων. Οἷοι.] Ὁποῖοι. Μαχέοιτο.] Μάχοιτο.

273. Καὶ μέν μευ.] Καὶ μὴν ἐμοῦ. Βουλέων.] Συμβουλιῶν. Ξύνιον.] Ἤκουον, ἐπείθοντο.

274. Καὶ ὔμμες.] Καὶ ὑμεῖς. Αἴολις ἡ διάλεκτος.

275. Ἀγαθός περ ἐὼν.] Καίτοι βασιλεὺς ὑπάρχων. ἢ ἀγαθὸς τὴν γνώμην. ἀμείνων, κρείττων. Ἀποαίρεο.] Ἀφαιροῦ. Κούρην.] Κόρην. ἡ διάλεκτος Ἰώνων.

276. Ἔα.] Συγχώρει. Ὥς οἱ πρῶτα.] Ὡς αὐτῷ ἐξ ἀρχῆς. Δόσαν.] Παρέσχον.

277. Θέλε.] Βούλου. Ἐριζέμεναι.] Ἐρίζειν, φιλονεικεῖν, ἐξισοῦσθαι.

278. Ἀντιβίην.] Ἐξ ἐναντίας. Ἔμμορε.] Ἔλαχεν, ἔτυχεν. Ὁμοίης.] Ἴσης καὶ τῆς αὐτῆς.

279. Σκηπτοῦχος.] Σκηπτροφόρος. Ὧιτε Ζεύς.] Καὶ ᾧτινι ὁ Ζεύς. Κῦδος.] Δόξαν. Ἔδωκε.] Παρέσχε.

280. Καρτερός.] Ἰσχυρός. Ἐσσί.] Ὑπάρχεις. Θεὰ δέ σε.] Καὶ Θεά τε. ὅτι τῆς Θέτιδος ἦν υἱὸς τῆς Νηρέως θυγατρός. αὐτὴ δὲ ἀθάνατος.

281. Ἀλλὰ ὅγε.] Ἀλλ' ἐκεῖνος. Φέρτερος.] Κρείσσων. Πλεόνεσσι.] Πλείοσιν.

282. Τεὸν μένος.] Τὴν σὴν ὀργήν. Αὐτὰρ ἔγωγε.] Ἐγὼ δέ.

283. Λίσσομαι.] Λιτανεύω, παρακαλῶ. Μεθέμεν.] Μεθεῖναι, συγχωρῆσαι. Χόλον.] Ὀργήν. Ὃς μέγα.] Ὅστις μέγα.

284. Ἕρκος.] Περίφραγμα, τεῖχος. Πέλεται.] Γίνεται, ἐστί. Πολέμοιο κακοῖο.] Τοῦ κακωτικοῦ πολέμου.

285. Κρείων.] Μεγάλως κρατῶν.

286. Κα-

Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
Ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
Πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ᾽ ἀνάσσειν,
Πᾶσι δὲ σημαίνειν· ἅτιν᾽ οὐ πείσεσθαι ὀΐω.
Εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
Τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;
Τὸν δ᾽ ἄρ᾽ ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
Ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην,
Εἰ δή σοι πᾶν ἔργον ὑπείξομαι, ὅ,ττι κεν εἴποις·
Ἄλλοισιν δὴ ταῦτ᾽ ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
Σήμαιν᾽· οὐ γὰρ ἔγωγ᾽ ἔτι σοι πείσεσθαι ὀΐω.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Χερσὶ μὲν οὔτι ἔγωγε μαχήσομαι εἵνεκα κούρης
Οὔτε σοὶ, οὔτε τῳ ἄλλῳ, ἐπεί μ᾽ ἀφέλεσθέ γε δόντες.

286. Κατὰ μοῖραν.] Κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον. Ἔειπες.] Εἶπας, ἔλεξας.

287.] Ἀλλὰ ὅδε.] Ἀλλ᾽ οὗτος. Ἐθέλει.] Βούλεται. Περὶ πάντων.] Ὑπὲρ πάντας. Ἔμμεναι.] Εἶναι. τουτέστι, πάντων θέλει ὑπερέχειν.

288. Κρατέειν.] Κρατεῖν, βασιλεύειν. Πάντεσσι.] Πᾶσι.

289.] Σημαίνειν.] Προστάσσειν. Ἅτιν᾽ οὐ πείσεσθαι.] Πρὸς ἃ οὐ πεισθήσεσθαι. Ὀΐω.] Οἶμαι, ὑπολαμβάνω.

290. Εἰ δέ μιν.] Εἰ δὲ αὐτόν. Αἰχμητήν.] Πολεμικόν. Ἔθεσαν.] Ἐποίησαν. Αἰὲν ἐόντες,] Διαπαντὸς ὄντες· ἀθάνατοι.

291. Τοὔνεκά οἱ.] Τούτου χάριν αὐτῷ. Προθέουσι.] Προτρέχουσι, συντάσσιν. Ὀνείδεα.] Ὀνείδη, ὕβρεις. Μυθήσασθαι.] Εἰπεῖν. ὁ δὲ λόγος. εἰ πολεμιστής ἐστιν Ἀχιλλεὺς γνώμῃ τῶν Θεῶν, διὰ τοῦτο προπετής ἐστιν ἐπὶ τὸ ὀνειδίζειν, καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς;

292. Τὸν δ᾽ ἄρ᾽.] Τοῦτον δὲ δή. Ὑποβλήδην] Ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς, καὶ μεσολαβήσας τὸν Ἀγαμέμνονα, πρὶν ἢ σιωπήσει αὐτὸς εἰπών. Ἠμείβετο.] Ἐξ ἀμοιβῆς ἀπεκρίνατο.

293. Ἦ γάρ κεν.] Ὄντως γὰρ ἄν. Δειλός.] Ἀσθενής. Καλεοίμην.] Κληθείην.

294. Εἰ δή σοι.] Ἐὰν δή σοι. Πᾶν ἔργον. Εἰς πᾶν πρᾶγμα. Ὑπείξομαι.] Ὑποχωρήσω. Ὅττι κεν.] Ὅπερ ἄν.

295. Ἐπιτέλλεο.] Ἐπιτέλλου, πρόστασσε. Μὴ γὰρ ἔμοιγε.] Ἐμοὶ γὰρ μή.

296. Σήμαινε.] Πρόστασσε. ἐγὼ γὰρ οὐ νομίζω πεισθῆναί σοι.

297. Ἐρέω.] Ἐρῶ, λέξω. Βάλλεο.] Ἔμβαλλου, ἔνθου. Σῇσι.] Σαῖς.

298. Μαχήσομαι.] Μαχοῦμαι.

299. Οὔτε τῳ.] Οὔτε τινὶ ἄλλῳ. Ἐπεί μ᾽ ἀφέλεσθε.] Ἐπειδὴ δεδωκότες

Τῶν δ' ἄλλων, ἅ μοι ἐστὶ θοῇ παρὰ νηῒ μελαίνῃ,
Τῶν οὐκ ἄν τι φέροις ἀνελὼν, ἀέκοντος ἐμεῖο.
Εἰ δ' ἄγε μὴν, πείρησαι, ἵνα γνώωσι καὶ οἵδε·
Αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.
Ὣς τώ γ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν
Ἀνστήτην· λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν·
Πηλείδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
Ἤϊε, σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισιν·
Ἀτρείδης δ' ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν,
Ἐς δ' ἐρέτας ἔκρινεν ἐείκοσιν, ἐς δ' ἑκατόμβην
Βῆσε θεῷ· ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
Εἷσεν ἄγων· ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.

δωκότες μοι αὐτὴν ἀφείλεσθε, καὶ ὑβρίσατε ἑαυτοὺς γε, οὐκ ἐμέ.

300. Τῶν δ' ἄλλων.] Τῶν δὲ λοιπῶν. Ἅ μοι ἐστί.] Ἅτινα μοι ὑπάρχει. Θοῇ νηΐ] Παρὰ τῇ ταχυτάτῃ νηΐ.

301. Τῶν.] Τούτων. Οὐκ ἄν τι.] Οὐδαμῶς ἄν τι. Φέροις.] Κομίσαις, λάβοις. Ἑλών.] Λαβὼν, ἢ ἀφελόμενος. Ἀέκοντος.] Ἄκοντος, καὶ μὴ βουλομένου. Ἐμεῖο.] Ἐμοῦ.

302. Εἰδ', ἄγε μήν.] Εἴ γε μὴν βούλει. Πείρησαι.] Πειράθητι. Ἵνα γνώωσι καὶ οἵδε.] Ὅπως ἂν μάθωσι καὶ οὗτοι.

303. Αἶψά τοι] Ταχέως σοι. Κελαινόν.] Μέλαν. Ἐρωήσει περὶ δουρί.] Περιῤῥυήσεται τῷ δόρατι.

304. Ὣς τώγε.] Οὕτως οὗτοι. Ἀντιβ. οις.] Ἐναντίοις. ὅ ἐστι στασιαστικοῖς λόγοις. Μαχεσσαμένω.] Μαχεσάμενοι. δυϊκῶς. Ἐπέεσσι.] Λόγοις.

305. Ἀνστήτην.] Ἀνέστησαν. Λῦσαν δέ.] Ἔλυσαν δέ. Ἀγορήν.] Ἐκκλησίαν, συνέδριον.

306. Ἐπὶ κλισίας.] Ἐπὶ τὰς σκηνάς. Ἐΐσας.] Ἰσοτοίχους.

307. Ἤϊε.] Παρεγίνετο, ἐπορεύετο. Σύν τε Μενοιτιάδῃ.] Σὺν τῷ Μενοιτίου υἱῷ Πατρόκλῳ, καὶ τοῖς Μυρμιδόσι. Ἑτάροισι.] τοῖς φίλοις.

308. Ἄρα.] Δή. Νῆα.] Ναῦν, πλοῖον. Ἅλαδε.] Εἰς τὴν θάλασσαν. Προέρυσσε.] Καθείλκυσεν.

309. Ἔκρινεν.] Κατηρίθμησεν, ἐπελέξατο. Ἐείκοσιν.] Εἴκοσι.

310. Βῆσε.] Ἐνεβίβασε, ἐνέθηκεν. Ἐν δέ.] Εἰς αὐτὴν δέ. Ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον.] Ἀναγαγὼν δὲ καὶ τὴν καλοπρόσωπον Χρυσηΐδα εἰς τὴν ναῦν.

311. Εἷσεν ἄγων.] Ἐκάθισεν ἄγων τῷ πατρί. Ἂν δ' ἔβη.] Ἀνέβη δέ. Ἀρχός.] Ἡγεμὼν, ναύαρχος. Πολύμητις.] Πολύβουλος, συνετός.

Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα.
Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν.
Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον·
Ἕρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων ἠδ' αἰγῶν, παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο·
Κνίσση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν· οὐδ' Ἀγαμέμνων
Λῆγ' ἔριδος, τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ.
Ἀλλ' ὅγε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε,
Τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·
Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος,
Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον·
Εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι,
Ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.
Ὣς εἰπὼν, προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.

312. Οἱ μέν.] Οὗτοι μέν. Ἀναβάντες.] Ἀνελθόντες, ἐπιβάντες. Ὑγρὰ κέλευθα.] Τὴν διὰ θαλάσσης ὁδόν.

313. Ἀπολυμαίνεσθαι.] Ἀποκαθαίρεσθαι. Ἄνωγεν.] Ἐκέλευσε, προσέταξεν.

314. Οἱ δέ.] Αὐτοὶ δέ. Ἀπελυμαίνοντο.] Ἀπεκαθαίροντο. Εἰς ἅλα λύματ' ἔβαλλον.] Καὶ εἰς τὴν θάλασσαν τὰ καθάρσια ἔβαλλον.

315. Ἕρδον.] Ἐπετέλουν, ἔθυον. Τεληέσσας.] Τελείας.

316. Παρὰ θῖν'.] Παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης. Ἀτρυγέτοιο.] τῆς ἀκάρπου.

317. Κνίσση δέ.] Ἡ δὲ κνίσσα, ὅ ἐστιν ἡ ἀναθυμίασις. Ἷκεν.] Παρεγίνετο. Ἑλισσομένη.] Παρειλουμένη τῷ καπνῷ.

318. Ὣς οἱ μέν.] Οὕτως μὲν οὗτοι. Τά.] Ταῦτα. Πένοντο.] Ἐνήργουν, ἔπραττον. Κατὰ στρατόν.] Κατὰ τὸ στρατόπεδον.

319. Λῆγε.] Ἐπαύετο. Ἔριδος.] Φιλονεικείας. Τὴν πρῶτον.] Ἥντινα πρῶτον ἠπείλει κατ' Ἀχιλλέως.

321. Τώ οἱ ἔσαν.] Οἵτινες αὐτῷ ἦσαν. Ὀτρηρώ.] Σπουδαῖοι. παρὰ τὸ ὀτρύνω· Θεράποντε.] Ὑπηρέται.

322. Ἔρχεσθον.] Ἀπέρχεσθε, δυϊκῶς. Κλισίην.] Εἰς τὴν σκηνήν.

323. Ἑλόντε.] Λαβόντες. Ἀγέμεν.] Ἄγειν.

324. Εἰ δέ κε.] Ἐὰν δέ. Μὴ δώῃσι.] Μὴ παράσχῃ. Ἕλωμαι.] Ἀφέλωμαι, λάβω.

325. Τό οἱ.] Ὅπερ αὐτῷ. Ῥίγιον.] Φρικωδέστερον, καὶ χαλεπώτερον. Ἔσται.] Γενήσεται.

326. Προΐει.] Προέπεμπε. Κρατερόν.] Ἰσχυρὸν, γενναῖον. Ἐπὶ μῦ-

Τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην.
Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἥμενον· οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς.
Τὼ μὲν ταρβήσαντε, καὶ αἰδομένω βασιλῆα,
Στήτην, οὐδέ τι μὶν προσεφώνεον, οὐδ' ἐρέοντο.
Αὐτὰρ ὁ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, φώνησέν τε.
Χαίρετε, κήρυκες, Διὸς ἄγγελοι, ἠδὲ καὶ ἀνδρῶν·
Ἆσσον ἴτ'· οὔτι μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
Ὃς σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
Ἀλλ' ἄγε, διογενὲς Πατρόκλεις, ἔξαγε κούρην,
Καὶ σφῶϊν δὸς ἄγειν· τὼ δ' αὐτὼ μάρτυροι ἔστων
Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων,
Καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος· Εἴποτε δ' αὖτε

θον ἔτελλεν.] Ἐπέτελλε, λόγον ἔλεγε.

327. Τὼ δέ.] Οὗτοι δέ. δυϊκῶς. Ἀέκοντε.] Ἄκοντες, καὶ μὴ βουλόμενοι. Βάτην.] Ἔβησαν, ἐπορεύθησαν.

328. Ἱκέσθην.] Ἀφίκοντο, παρεγένοντο.

329. Εὗρον.] Κατέλαβον. Κλισίῃ.] Παρὰ τῇ σκηνῇ.

330. Ἥμενον.] Καθεζόμενον. Οὐδ' ἄρα τώγε.] Οὐδὲ δὴ τούτους. Ἰδών.] Θεασάμενος. Γήθησεν.] Ἐχάρη.

331. Τὼ μέν.] Οὗτοι μέν. Ταρβήσαντε.] Φοβηθέντες, δυϊκῶς. Αἰδομένω.] Αἰδεσθέντες.

332. Στήτην.] Ἔστησαν. Οὐδέ τι μίν.] Οὐδὲ αὐτόν τι. Προσεφώνεον.] Προσεφθέγγοντο. Οὐδ' ἐρέοντο.] Οὐδὲ ἀνηρώτων.

333. Αὐτὰρ ὁ.] Οὗτος δέ. Ἔγνω.] Ἐστοχάσατο, ἐνόησεν. Ἧσιν ἐνὶ φρεσίν.] Ἐν ταῖς ἑαυτοῦ διανοίαις. Φώνησέν τε.] Ἐβόησε, καὶ εἶπεν.

335. Ἆσσον ἴτε.] Ἐγγὺς παραγένεσθε. Οὔτι μοι ὔμμες.] Κατ' οὐδέν μοι ὑμεῖς.

336. Ὃς σφῶϊ.] Ὃς ὑμᾶς. Προΐει.] Ἔπεμπε.

337. Διογενές.] Εὐγενέστατε. Πατρόκλεις.] Ἀντὶ τοῦ Πάτροκλε. ἐσχημάτισται γὰρ τὸ ὄνομα οὐκ ἀπὸ τῆς Πάτροκλος εὐθείας, ἀλλὰ ἀπὸ τῆς Πατροκλῆς· ὡς Ἡρακλῆς, ὦ Ἥρακλες. Ἔξαγε.] Ἔξω τῆς σκηνῆς κόμιζε.

338. Καὶ σφῶϊν.] Καὶ αὐτοῖς. Ἄγειν.] Ἀπάγειν. Κούρην.] Τὴν Βρισηΐδα. Τὼ δ' αὐτώ.] Οὗτοι δ' αὐτοί. Μάρτυροι.] Μάρτυρες. Ἴσως ἡ διάλεκτος. Ἔστων.] Ἔστωσαν, ὑπαρχέτωσαν.

339. Πρός τε θεῶν.] Καὶ πρὸς τοὺς θεούς. Μακάρων.] Μακαρισμοῦ ἀξίων. εὐδαιμόνων.

340. Ἀπηνέος.] Ἀπηνοῦς, χα-

Χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
Τοῖς ἄλλοις· — ἦ γὰρ ὅγ' ὀλοῇσι φρεσὶ θύει,
Οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὣς φάτο· Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
Ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρηον,
Δῶκε δ' ἄγειν· τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν· αὐτὰρ Ἀχιλλεὺς
Δακρύσας, ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθεὶς,
Θῖν' ἔφ' ἁλὸς πολιῆς, ὁρόων ἐπὶ οἴνοπα πόντον.
Πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο, χεῖρας ὀρεγνύς·
Μῆτερ, ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
Τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι,

λεπτοῦ σκληροῦ. Εἴ ποτε δ' αὖτε.] Ἐάν ποτε πάλιν.

341. Χρειώ.] Χρεία. Ἐμεῖο.] Ἐμοῦ. Ἀεικέα.] Αἰκιστικὸν, χαλεπόν. Λοιγόν.] Ὄλεθρον. Ἀμῦναι.] Ἀποσοβῆσαι, ἀποστρέψαι.

342. Ἦ γάρ.] Ὅλως γὰρ ἄν. Ογε.] Οὗτος. Ὀλοῇσιν.] Ὀλεθρίαις. Θύει.] Ἐνθουσιωδῶς ὁρμᾷ. ὅ ἐστι, μαίνεται.

343. Νοῆσαι.] Προλογίσασθαι, ἐνθυμηθῆναι. Πρόσσω καὶ ὀπίσσω.] Τὸ παρὸν καὶ τὸ μέλλον. τουτέστιν, οὐκ οἶδε. προσκοπῆσαι καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν τοῦ πράγματος.

344. Ὅππως οἱ.] Ὅπως αὐτῷ. Σόοι.] Σῶοι, ὑγιεῖς. Μαχέοιντο.] Μαχῶνται, πολεμήσωσιν.

345. Ἐπεπείθετο.] Ἐπείσθη.

346. Ἐκ δ' ἄγαγε.] Ἐξήγαγε δέ.

347. Τὼ δ' αὖτις.] Οὗτοι δὲ πάλιν. Ἴτην.] Παρεγένοντο.

348. Ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν.] Ἡ Βρισηῒς ἄκουσα καὶ μὴ βουλομένη ὁμοῦ τοῖς κήρυξιν ἐπορεύετο.

349. Ἄφαρ.] Εὐθέως, ταχέως. Ἑτάρων.] Φίλων. Νόσφι.] Χωρίς. Λιασθείς.] Χωρισθείς.

350. Θῖν' ἔφ' ἁλός.] Ἐπὶ τὸν αἰγιαλὸν τῆς θαλάσσης. Πολιῆς.] Λευκῆς, διὰ τὸν ἀφρόν. Ὁρόων.] Ὁρῶν, βλέπων. Ἐπὶ οἴνοπα.] Ἐπὶ τὸν μέλανα. Πόντον.] Τὴν θάλασσαν.

351. Ἠρήσατο.] Ηὔξατο. Ὀρεγνύς.] Ἐκτείνας.

352. Ἐπεί με.] Ἐπειδή με. Μινυνθάδιον.] Ὀλιγοχρόνιον. Ἐόντα.] Ὄντα, ὑπάρχοντα.

353. Τιμήν πέρ μοι.] Τὴν τιμὴν δή μοι. Ὄφελλεν.] Ὤφειλεν. Ὀλύμπιος.] Ὁ τὸν ὄλυμπον κατοικῶν Ζεύς. Ἐγγυαλίξαι.] Ἐγχειρίσαι, παρασχεῖν.

354. Ὑψι-

Ζεὺς ὑψιβρεμέτης· νῦν δ' ὐδέ με τυτθὸν ἔτισεν.
Ἦ γάρ μ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
Ὣς φάτο δακρυχέων· τῷ δ' ἔκλυε πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι·
Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς, ἠΰτ' ὀμίχλη·
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δακρυχέοντος,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Οἶσθα· τίη τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;
Ὠιχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος,

354. Ὑψιβρεμέτης.] Ὁ ἐν ὕψει ἠχῶν, ὅ ἐστι, βροντῶν. Οὐδέ με τυτθόν.] Οὐδὲ ὀλίγον με. Ἔτισεν.] Ἐτίμησεν.

355. Ἦ γάρ μ' Ἀτρείδης.] Ὁ Ἀγαμέμνων γάρ με.

356. Ἑλὼν γάρ.] Ἀφελόμενος γὰρ τὴν τιμήν μου ἔχει. Ἀπούρας.] Ἀφαιρέσας αὐτὸς ἐμοῦ.

357. Δακρυχέων.] Δάκρυα χέων, κλαίων. Πότνια.] Σεβασμία, ἔντιμος.

358. Ἡμένη.] Καθεζομένη. Ἐν βένθεσσιν.] Ἐν τοῖς βάθεσιν. Πατρὶ γέροντι.] Τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ ποιηταὶ παριστῶσιν ἡμῖν δαίμονα θαλάσσιον. ἀφ' οὗ, καὶ Δωρίδος τῆς Ὠκεανοῦ, αἱ Νηρηΐδες.

359. Καρπαλίμως.] Ταχέως. Ἀνέδυ.] Ἀνῆλθεν. Ἠΰτ' ὀμίχλη.] Ἔστι δὲ ὀμίχλη, ὁ παχὺς καὶ ὑγρότατος ἀήρ.

360. Καί ῥα.] Καὶ δή. Πάροιθεν.] Ἔμπροσθεν. Αὐτοῖο.] Αὐτοῦ. Καθέζετο.] Ἐκαθέζετο. Δακρυχέοντος.] Δάκρυα χέοντος.

361. Χειρί τέ μιν.] Καὶ τῇ χειρὶ αὐτόν. Κατέρεξε.] Κατέψηξε, καθωμάλισεν. Ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.] Τόν τε λόγον εἶπε, καὶ τὰ μέρη αὐτοῦ διεξῆλθε.

362. Ἵκετο.] Κατέλαβε. Πένθος.] Λύπη.

363. Ἐξαύδα.] Ἔξειπε, λέξον. Μὴ κεῦθε.] Μὴ κρύπτε. Νόῳ.] Τῇ διανοίᾳ. Εἴδομεν.] Ἀντὶ τοῦ, εἰδῶμεν, μάθωμεν. Ἄμφω.] Ἀμφότεροι, ἐγώ τε ἡ Θέτις, καὶ σὺ ὁ Ἀχιλλεύς.

364. Βαρυστενάχων.] Βαρέως στενάζων.

365. Οἶσθα.] Οἶδας, ἐπίστασαι. Τίη τοι.] Τί δή σοι. Ἀγορεύω.] Λέγω.

366. Ὠιχόμεθ' ἐς Θήβην.] Παρεγενόμεθα εἰς τὰς Θήβας. Ἱερήν.] Ἱερὰν, μεγάλην, καὶ θαυμαστήν.

Τὴν δὲ διεπράθομέν τε, καὶ ἤγομεν ἐνθάδε πάντα·
Καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
Ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηΐδα καλλιπάρῃον·
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
Ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος,
Χρυσέῳ ἀνὰ σκήπτρῳ· καὶ ἐλίσσετο πάντας Ἀχαιοὺς,
Ἀτρείδα δὲ μάλιστα, δύω κοσμήτορε λαῶν.
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ,
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα·
Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Χωόμενος δ' ὁ γέρων πάλιν ᾤχετο· τοῖο δ' Ἀπόλλων
Εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν·
Ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
Θνῆσκον ἐπασσύτεροι· τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
Πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
Εὖ εἰδὼς ἀγόρευε θεοπροπίας Ἑκάτοιο.
Αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν· αἶψα δ' ἀναστὰς

367. Διεπράθομεν.] Ἐξεπορθήσαμεν.

368. Καὶ τὰ μέν.] Καὶ ταῦτα μέν. Εὖ δάσσαντο.] Καλῶς ἐμέρισαν. Μετὰ σφίσιν.] Ἐν αὐτοῖς.

369. Ἐκ δ' ἕλον.] Ὡς ἐξαίρετον ἔλαβον, καὶ ἔδωκαν.

380. Τοῖο.] Τούτου.

381. Ἐπεὶ μάλα οἱ φίλος ἦεν.] Ἐπειδὴ πάνυ αὐτῷ προσφιλὴς ὑπῆρχεν.

382. Ἧκεν.] Ἐφῆκεν, ἔπεμψεν. Οἱ δέ νυ λαοί.] Οἱ δὴ ὄχλοι.

383. Θνῆσκον.] Ἀπέθνησκον. Ἐπασσύτεροι.] Ἐπάλληλοι, πυκνοί.

384. Πάντη.] Πανταχοῦ, εἰς ὅλον τὸ στράτευμα. Ἄμμι δέ.] Ἡμῖν δέ.

385. Εὖ εἰδώς.] Ἀκριβῶς ἐπιστάμενος. Ἑκάτοιο.] Ἀπόλλωνος, τοῦ μακρόθεν βάλλοντος, τοῦ τοξικοῦ.

386. Κελόμην.] Ἐκέλευον. Ἱλάσκεσθαι.] Ἐξιλεοῦσθαι, ἐξευμενίζεσθαι.

387. Ἀτρείωνα.] Τὸν Ἀγαμέμνονα. Χόλος λάβεν.] Ὀργὴ κατέλαβεν. Αἶψα δέ.] Ταχέως δέ.

Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
Τὴν μὲν γὰρ σὺν νηὶ θοῇ ἑλίκωπες Ἀχαιοὶ
Ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·
Τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
Κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
Ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος.
Ἐλθοῦσ' Οὔλυμπόνδε Δία λίσαι, εἴ ποτε δή τι
Ἢ ἔπει ὤνησας κραδίην Διός, ἠὲ καὶ ἔργῳ.
Πολλάκι γάρ σέο, πατρὸς ἐνὶ μεγάροισιν, ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
Οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη·
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
Ὦχ' Ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι Θεοί, ἄνδρες δέ τε πάντες

388.] Ἠπείλησεν.] Ἐπηγγείλατο.

390. Δῶρα.] Νῦν θυσίας.

391. Νέον.] Νεωστί. Κλισίηθεν.] Ἀπὸ τῆς σκηνῆς. Ἔβαν.] Ἔβησαν, ἐπορεύθησαν. Ἄγοντες.] Ἀποφέροντες.

392. Τήν μοι.] Ἥν τινά μοι. Κούρην Βρισῆος.] Τὴν Βρισέως θυγατέρα Βρισηΐδα.

393. Περίσχεο.] Περίσχου, φρόντισον. Ἑῆος. Ἀντὶ τοῦ, τοῦ σοῦ. οἱ δέ, ἀγαθοῦ, προσηνοῦς· ἢ ἰδίου.

394. Λίσαι.] Λιτάνευσον.

395. Ἢ ἔπει.] Ἢ λόγῳ. Ὤνησας.] Ὠφέλησας. Κραδίην Διός.] Τὸν Δία. περιφραστικῶς. Ἠὲ καὶ ἔργῳ.] Ἢ αὐτῷ τῷ ἔργῳ.

396. Πολλάκι γὰρ σέο.] Πολλάκις γάρ σου. Πατρὸς ἐνὶ μεγάροισιν.] Ἐν τοῖς τοῦ πατρός μου Πηλέως οἴκοις. ἐν θαλάσσῃ γὰρ Πηλεὺς κατοικεῖν οὐκ ἠδύνατο. Ἄκουσα.] Ἤκουσα.

397. Εὐχομένης.] Καυχωμένης. Ὅτ' ἔφησθα.] Ὅτε ἔλεγες. Κελαινεφέϊ.] Τῷ τὰς νεφέλας μελαίνοντι, ὀμβροποιῷ. Κρονίωνι.] Τῷ τοῦ Κρόνου παιδί.

398. Οἴη.] Μόνη. Ἐν ἀθανάτοισιν.] Ἐν τοῖς Θεοῖς. Ἀεικέα.] Ἀπεοικότα, χαλεπόν. Λοιγόν.] Ὄλεθρον, φθοράν. Ἀμῦναι.] Ἀποσοβῆσαι, ἀποτρέψαι.

399. Ὁππότε μιν.] Ὁπηνίκα αὐτόν. Ξυνδῆσαι] Συνδῆσαι. Ὀλύμπιοι ἤθελον ἄλλοι.] Οἱ Τιτάνες.

401. Ὑπελύσας.] Ἐξεῖλου, ἔλυσας.

402. Ὦκα.] Ταχέως, σπουδαίως. Ἑκατόγχειρον.] Ἑκατοντάχειρα. Αἰολικῶς. τοὺς ἑκατοντάχειρας δέ, γράφει

Αἰγαίων'· ὁ γὰρ αὖτε βίῃ οὗ πατρὸς ἀμείνων.
Ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
Τὸν καὶ ὑπέδδεισαν μάκαρες Θεοὶ, οὐδέ τ' ἔδησαν.
Τῶν νῦν μιν μνήσασα παρέζεο, καὶ λάβε γούνων,
Αἴ κεν πως ἐθέλησιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
Τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς
Κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
Ὤ μοι, τέκνον ἐμὸν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;
Αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
Ἧσθαι· ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔτι μάλα δήν·

γράφει Ἡσίοδος, οὐρανοῦ καὶ γῆς υἱός. Μακρόν.] Μέγαν.

404. Ὁ γὰρ αὖτε.] Οὗτος γὰρ δή. Βίῃ.] Βίᾳ, δυνάμει. Οὗ πατρός.] Τοῦ ἰδίου πατρός. Ἀμείνων.] Ἰσχυρότερος, βελτίων.

405. Ὅς ῥα.] Ὅστις δή. Κρονίωνι.] Κρόνου παιδὶ, Διΐ.] Κύδεϊ γαίων.] Τῇ αὐτοῦ δόξῃ γαυριῶν, καὶ σεμνυνόμενος.

406. Ὑπέδδεισαν.] Ἐφοβήθησαν.

407. Τῶν νῦν μιν. Τούτων δὴ ἐπὶ τοῦ παράλληλος αὐτόν. Μνήσασα.] Ὑπομνήσασα. Παρέζεο.] Παρακαθέζου. Καὶ λάβε γούνων.] Τῶν γονάτων κράτησον.

408. Αἴ κέν πως.] Ἐάν πως. Ἐθέλησι.] Βουληθῇ, θελήσῃ. Ἐπὶ Τρώεσσιν ἀρῆξαι.] Ἐπιβοηθῆσαι τοῖς Τρωσί.

409. Τοὺς δέ.] Τοὺς Ἕλληνας. Κατὰ πρύμνας.] Τὰς ναῦς. ἀπὸ μέρους φησί. πρύμνα γάρ μέρος τῆς νεὼς τὸ ἔσχατον. Καὶ ἀμφ' ἅλα.] Καὶ περὶ τὴν θάλασσαν. Ἔλσαι.] Συνελάσαι, συγκλεῖσαι.

410. Κτεινομένους.] Ἀναιρουμένους, φονευομένους. Ἵνα πάντες ἐπαύρωνται βασιλῆος.] Ἵν' ἀπολαύσωσι πάντες τῆς ἀβουλίας τοῦ βασιλέως. τουτέστιν, ἵνα ἀπόλωνται δι' αὐτόν.

411. Γνῷ.] Γνωρίσῃ, μάθῃ.

412. Ἣν ἄτην.] Τὴν ἰδίαν ἀβουλίαν καὶ βλάβην. Ὅτ' ἄριστον.] Ὅτι τὸν ἄριστον, ἀντὶ τοῦ, ἐμὲ τὸν Ἀχιλλέα. Οὐδὲν ἔτισε.] Κατ' οὐδὲν ἐτίμησεν.

413. Ἠμείβετο.] Ἀπεκρίνατο. Δακρυχέουσα.] Δακρύουσα, κλαίουσα.

414. Τί νυ.] Διατί δή σε ἀνέτρεφον. Αἰνὰ τεκοῦσα.] Ἐπὶ κακῷ γεννήσασα.

415. Αἴθ' ὄφελες.] Εἴθε ὄφελες. ἔστιν ἐπίρρημα εὐκτικόν. Ἀδάκρυτος.] Ἄνευ δακρύων ἄλυπος. Ἀπήμων.] Ἀβλαβής.

416. Ἐπεὶ νύ τοι.] Ἐπειδή σοι. Αἶσα.]

Νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων
Ἔπλεο· τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
Τοῦτο δέ τοι ἐρέουσα ἔπος Διῒ τερπικεραύνῳ
Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον αἴ κε πίθηται.
Ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι,
Μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀποπαύεο πάμπαν.
Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα· (Θεοὶ δ' ἅμα πάντες ἕποντο)
Δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται Οὔλυμπόνδε·
Καὶ τότ' ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Καί μιν γουνάσομαι, καί μιν πείσεσθαι ὀΐω.
Ὣς ἄρα φωνήσασ' ἀπεβήσατο· τὸν δ' ἔλιπ' αὐτοῦ
Χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς,

Αἶσα.] Εἱμαρμένη, μοῖρα. Μίνυνθα.] Ἐπ' ὀλίγον χρόνον.

417. Ἅμα.] Ὁμοῦ. Ὠκύμορος.] Ταχυθάνατος. Οἰζυρός.] Ἐπίπονος, ταλαίπωρος, ἄθλιος. Περὶ πάντων.] Ἀντὶ τοῦ, ὑπὲρ πάντας ἀνθρώπους.

418. Ἔπλεο,] Ἐγένου. Τῷ σε.] Διὸ δή σε. Κακῇ αἴσῃ.] Κακῇ μοίρᾳ. Τέκον.] Ἔτεκον, ἐγέννησα. Ἐν μεγάροισιν.] Ἐν τοῖς οἴκοις.

419. Ἐρέουσα.] Λέξουσα, ἀπαγγελοῦσα. Τερπικεραύνῳ.] Τερπομένῳ κεραυνοῖς, ἢ καταγωνιζομένῳ τοὺς ἐναντίους, καὶ τρέποντι κεραυνοῖς.

420. Εἶμι.] Ἄπειμι, πορεύομαι. Ἀγάννιφον.] Τὸν λίαν νιφόμενον. Αἴκε πίθηται.] Ἐὰν πεισθῇ.

421. Ὠκυπόροισι.] Ταχέως πλεούσαις.

422. Μήνιε.] Ὀργίζου. Πάμπαν.] Παντελῶς, πάνυ.

423. Ἐς Ὠκεανόν.] Παρὰ τὸν Ὠκεανόν. ὁ δὲ Ὠκεανὸς, ποταμός ἐστι, καθ' Ὅμηρον. Ἀμύμονας.] Ἀμωμήτους, ἀγαυοὺς, ἢ ἀψόγους. Αἰθιοπῆας.] Αἰθίοπας.

424. Χθιζός.] Χθές. Μετὰ δαῖτα.] Ἐπὶ εὐωχίαν. Ἕποντο.] Ἠκολούθησαν.

425. Ἐλεύσεται.] Παραγενήσεται, ἔλθῃ. Οὔλυμπόνδε.] Εἰς τὸν ὄλυμπον.

426. Διὸς ποτί.] Πρὸς τὸ τοῦ Διός. Χαλκοβατές.] Ἰσχυρῶς βεβηκὸς, στερεόν. Δῶ.] Δῶμα, οἰκίαν. τὸ δὲ πάθος, ἀποκοπή.

427. Γουνάσομαι.] Γονυπετήσω, λιτανεύσω. Πείσεσθαι.] Πεισθῆναι. ὡς ἀμφίβολον δὲ αὐτό φησι. διότι ᾔδει τὸ αὐτοπαθὲς τῆς Ἥρας.

428. Ὣς ἄρα.] Οὕτως δή. Φωνήσασα.] Εἰποῦσα. Ἀπεβήσατο.] Ἀπέβη, ἀπῆλθεν. Ἔλιπε.] Κατέλιπεν. Αὐτοῦ.] Ἀντὶ τοῦ, αὐτόθι, ἐπὶ τὸν τόπον.

429. Χωόμενον.] Λυπούμενον, ὀργιζόμενον. Ἐϋζώνοιο.] Εὐζώνου, καλῆς καὶ εὐστόλου. ἀφ' οὗ εὐειδοῦς, ἀπὸ μέρους.

Τὴν ῥα βίη ἀέκοντος ἀπηύρων· αὐτὰρ Ὀδυσσεὺς
Ἐς Χρύσην ἵκανεν, ἄγων ἱερὴν ἑκατόμβην.
Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,
Ἱστία μὲν στείλαντο, θέσαν δ' ἐν νηῒ μελαίνῃ·
Ἱστὸν δ' ἱστοδόκῃ πέλασαν, προτόνοισιν ὑφέντες
Καρπαλίμως· τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς·
Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης·
Ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι.
Ἐκ δὲ Χρυσηῒς νηὸς βῆ ποντοπόροιο. (σεύς,
Τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσ-
Πατρὶ φίλῳ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν·

430. Τὴν ῥα.] Ἥντινα δή. Βίη.] Βίᾳ, δυνάμει, μετὰ βίας. Ἀπηύρων.] Ἀφείλοντο. Αὐτὰρ Ὀδυσσεύς.] Ὁ δὲ Ὀδυσσεὺς ἐν τοσούτῳ.

431. Ἵκανε.] Παρεγένετο, ἔφθασεν. Ἱερήν.] Ἱερὰν, μεγάλην. Οἱ δ' ὅτε.] Οὗτοι δὲ ὁπότε.

432. Λιμένος.] Τοῦ αἰγιαλοῦ. Πολυβενθέος.] Πολὺ βάθος ἔχοντος, βαθυτάτου.

433. Ἱστία.] Τῆς νηὸς τὴν ὀθόνην. ὃ ἐστι τὸ ἄρμενον, ἱστίον λέγεται. ἱστὸς δὲ, τὸ μέγα ξύλον τὸ κατάρτιον λεγόμενον ὑπὸ τῶν ναυτικῶν. Στείλαντο.] Συνέστειλαν, καθεῖλον. Θέσαν.] Ἔθηκαν.

434. Ἱστοδόκῃ.] Τῇ ὑποδεχομένῃ τὸν ἱστὸν ἱστοδόκῃ. λέγει δὲ τῷ κατὰ τὴν πρύμναν ἀνέχοντι ξύλῳ, καθ' οὗ κλίνεται ὁ ἱστός. Πέλασαν.] Προσεπέλασαν, προσήγαγον. μετωνυμία. Τουτέστι, πελασθῆναι ἐποίησαν. Προτόνοισι.] Τοῖς προτεταμένοις κάλοις, οἵτινες τὸν ἱστὸν περιτείνουσιν, ἵνα ᾖ ὀρθός. Ὑφέντες.] Ἐνδόσαντες, χαλάσαντες.

435. Καρπαλίμως.] Ταχέως. Εἰς ὅρμον.] Εἰς τὸν λιμένα. ἀπὸ τοῦ ὁρμεῖν καὶ ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς. Προέρυσσαν.] Προσείλκυσαν, προσήγαγον. Ἐρετμοῖς.] Εἰρεσίαις, κωπηλασίαις.

436. Ἐκ δ' εὐνάς.] Τὰς ἀγκύρας. νῦν λέγει τὰς σιδηρᾶς. παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι. Ἔβαλον.] Ἐξέβαλον, καὶ καθῆκαν. Πρυμνήσια.] Τὰ ἀπόγεια σχοινία, οἷς ἐκ τῆς πρύμνης προσδεσμεῖται ἡ ναῦς πρὸς τῇ γῇ.

437. Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον.] Ἐξέβαινον δὲ καὶ αὐτοί.] Ἐπὶ ῥηγμῖνι.] Ἐπὶ τῷ αἰγιαλῷ. οὕτως δὲ εἴρηται ἀπὸ τοῦ παραῤῥήσσεσθαι αὐτῷ τὰ κύματα.

439. Ἐκ δὲ Χρυσηῒς νηὸς βῆ.] Ἐξέβη δὲ καὶ ἡ Χρυσηῒς τῆς νηός. Ποντοπόροιο.] Τῆς τὸν πόντον περώσης, θαλασσοπλόου.

440. Πολύμητις.] Πολύβουλος, συνετός.

441. Ἐν χερσὶ τίθει.] Ἐν ταῖς

χερσὶ

Ὦ Χρύση, πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ' ἱερὴν ἑκατόμβην
Ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ' ἱλασώμεθ' ἄνακτα,
Ὃς νῦν Ἀργείοισι πολύστονα κήδε' ἐφῆκεν.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων
Παῖδα φίλην· τοὶ δ' ὦκα Θεῷ κλειτὴν ἑκατόμβην
Ἑξείης ἔστησαν ἐΰδμητον περὶ βωμόν.
Χερνίψαντο δ' ἔπειτα, καὶ οὐλοχύτας ἀνέλοντο.
Τοῖσιν δὲ Χρύσης μεγάλ' εὔχετο, χεῖρας ἀνασχών·
Κλῦθί μευ, Ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Ἤδη μέν ποτ' ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο·
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
Ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ,
Ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων·

χερσὶ τοῦ πατρὸς ἐδίδου. Καί μιν.] Καὶ αὐτόν.

442. Πρό μ' ἔπεμψε.] Προέπεμψέ με. Ἄναξ ἀνδρῶν.] Ὁ βασιλεὺς τῶν ἀνθρώπων.

443. Παῖδά τε σοί.] Καὶ τὴν θυγατέρα σοι. Φοίβῳ θ'.] Καὶ τῷ Ἀπόλλωνι.

444. Ῥέξαι.] Ἐπιτελέσαι, θῦσαι, ἱερουργῆσαι. Ὄφρ' ἱλασώμεθα.] Ὅπως ἐξιλεωσώμεθα. Ἄνακτα.] Τὸν Ἀπόλλωνα.

445. Πολύστονα.] Πολλῶν στεναγμῶν αἴτια. Κήδεα.] Κακά. Ἐφῆκεν.] Ἐπέπεμψε.

447. Παῖδα φίλην.] Τὴν προσφιλῆ θυγατέρα. Ὦκα.] Ταχέως. Κλειτήν.] Ἔνδοξον.

448. Ἑξείης.] Ἐφεξῆς. Ἐΰδμητον.] Περὶ τὸν καλῶς ᾠκοδομημένον βωμόν.

449. Χερνίψαντο.] Τὰς χεῖρας ἐνίψαντο. Οὐλοχύτας.] Οὐλάς. εἰσὶ δὲ κριθαὶ μεθ' ἁλῶν μεμιγμέναι, ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι.

450. Μεγάλ' εὔχετο.] Μεγάλως ηὔχετο. Ἀνασχών.] Ἀνατείνας.

453. Πάρος.] Ἔμπροσθεν. ἢ πρότερον. Ἐμεῦ.] Ἐμοῦ. Ἔκλυες.] Ἐπήκουσας ἐμοῦ εὐχομένου.

454. Τίμησας.] Τιμῆς ἠξίωσας, ἐτίμησας. Μέγα δ' ἴψαο.] Μεγάλως ἔβλαψας.

455. Ἠδ' ἔτι καὶ νῦν μοι.] Καὶ νῦν δή μοι. Ἐπικρήηνον.] Ἐπιτέλεσον. Ἐέλδωρ.] Ἐπιθύμημα.

456. Ἀεικέα λοιγόν.] Αἰκιστικὸν, ἀπρεπῆ, καὶ χαλεπὸν ὄλεθρον.

Αὐτὰρ ἐπεί ῥ' εὔξαντο, καὶ οὐλοχύτας προβάλοντο,
Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν,
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
Καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
Λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
Μίστυλλόν τ' ἄρα τ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτὰρ ἐπεὶ παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,

Ἄμυνον.] Ἀπόστρεψον, κατάπαυσον.

458. Αὐτάρ ἐπεί ῥ'.] Ἐπειδὴ δέ. Οὐλοχύτας.] Νῦν τὰ κανᾶ. Προβάλοντο.] Προήνεγκαν, ἐβάστασαν.

459. Αὖ ἔρυσαν.] Εἰς τοὐπίσω ἀνέκλασαν τὸν τράχηλον τοῦ θυομένου ἱερείου. Ἔδειραν.] Ἐξέδειραν.

460. Μηρούς.] Τὰ μηριαῖα ὀστᾶ. Ἐξέταμον.] Ἐξέτεμον, ἐξέκοψαν. Κατά τε κνίσσῃ ἐκάλυψαν.] Καὶ ἐκάλυψαν τὰ μηρία τῷ λίπει.

461. Δίπτυχα ποιήσαντες.] Διπλώσαντες τὴν κνίσσαν. νῦν δὲ λέγει τὸν ἐπίπλουν. Ἐπ' αὐτῶν δὲ ὠμοθέτησαν.] Ἀπ' αὐτῶν δὲ ὠμὰ τῶν ἱερείων ἀπαρξάμενοι, ἔκοψαν μικρὸν ἀπὸ παντὸς μέρους, καὶ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι.

462. Καῖε δ'.] Ἔκαιε δέ. Ἐπὶ σχίζῃς.] Ἀντὶ τοῦ, ἐπὶ σχιζῶν. Αἴθοπα.] Μέλανα, ἢ θερμόν.

463. Λεῖβεν.] Ἐπέσπενδε. Νέοι.] Νεανίσκοι. Ἔχον.] Κατεῖχον, ἐκράτουν. Πεμπώβολα.] Πέντε ὀβολοὺς ἔχοντα ἐκ μιᾶς λαβῆς κρατουμένης τριαινοειδῶς.

464. Κατὰ μῆρ' ἐκάη.] Κατεκάη τὰ μηριαῖα ὀστᾶ. Σπλάγχνα.] Ἥπατα. Ἐπάσαντο.] Ἐγεύσαντο.

465. Μίστυλλον.] Εἰς μικρὰ διέκοψαν. Ἄρα τ' ἄλλα.] Καὶ τὰ ἄλλα. Ἀμφ' ὀβελοῖσιν ἔπειραν.] Καὶ τοῖς ὀβελίσκοις περιέπειραν.

466. Περιφραδέως.] Πάνυ ἐμπείρως, καὶ ἐντέχνως. Ἐρύσαντο.] Εἰς τοὐπίσω εἵλκυσαν τοῦ πυρός.

467. Πόνου.] Τῆς περὶ τὴν εὐωχίαν ἀσχολίας. Τετύκοντο.] Κατεσκεύασαν, ἡτοίμαζον. Δαῖτα.] Εὐωχίαν.

468. Δαίνυντο.] Εὐωχοῦντο. Ἐδεύετο.] Ἐνδεὴς ἦν. Εἴσης.] Ἴσης, πᾶσιν ὁμοίας, ἢ ἰσομοίρου καὶ μεριστῆς.

469. Πόσιος.] Ποτοῦ. Ἐδητύος.] Εὐωχίας, βρώσεως. Ἐξ ἔρον ἕντο.] Ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα. ὅ ἐστιν ἐκορέσθησαν. ἔρον δὲ τὸν ἔρωτα Αἰολικῶς λέγει.

470. Κοῦ-

Κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.
Οἱ δὲ πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
Μέλποντες Ἑκάεργον· ὁ δὲ φρένα τέρπετ' ἀκούων.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.
Οἱ δ' ἱστὸν στήσαντ', ἀνά θ' ἱστία λευκὰ πέτασσαν·
Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε, νηὸς ἰούσης·

470. Κοῦροι.] Οἱ νέοι. Κρητῆρας.] Τοὺς κρατῆρας. Ἐπεστέψαντο.] Ἄχρι τῆς στεφάνης ἐπλήρωσαν. ὅ ἐστι μέχρι τέλους. Ποτοῖο.] Ποτοῦ.

471. Νώμησαν.] Διεμέρισαν, διέδωκαν. Ἐπαρξάμενοι.] Ἤτοι τοῦ πίνειν ἀρχὴν ποιήσαντες, καὶ ἀπαρξάμενοι, καὶ σπείσαντες τοῖς Θεοῖς. Δεπάεσσι.] Ποτηρίοις, ἐκπώμασι.

472.] Πανημέριοι.] Δι' ὅλης ἡμέρας. Μολπῇ.] Ὕμνῳ, ᾠδῇ. Θεόν.] Τὸν Ἀπόλλωνα. Ἱλάσκοντο.] Ἐξευμενίζοντο, ἐξιλεοῦντο.

473. Καλὸν ἀείδοντες.] Ἤτοι καλὸν ᾄδοντες. ἢ καλῶς τὸν παιᾶνα. παιὰν δέ ἐστι ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος. Παιήονα.] Παιὰν ᾠδῆς εἶδος. Κοῦροι.] Νέοι

474. Μέλποντες.] Ὑμνοῦντες. Ἑκάεργον.] Τὸν Ἀπόλλωνα, ἐπιθετικῶς.

475. Ἦμος.] Ἡνίκα, ὅτε. Ἠέλιος.] Ὁ ἥλιος. Καὶ ἐπὶ κνέφας ἦλθε.] Καὶ τὸ σκότος ἐγένετο. ὅ ἐστι νύξ.

476. Δὴ τότε.] Τότε δή. Κοιμήσαντο.] Ἐκοιμήθησαν. Παρὰ πρυμνήσια.] Παρὰ τὰ ἀπόγεια σχοινία.

477. Φάνη.] Ἐφάνη. Ῥοδοδάκτυλος.] Ῥοδόχρους, διαυγής. Ἠώς.] Ἡμέρα.

478. Ἀνάγοντο.] Ἀνήγοντο, ἐπέπλεον. Μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.] Ἐπὶ τὸ πλῆθος τῶν Ἑλλήνων.

479. Ἴκμενον.] Ἤτοι πορευτικόν, παρὰ τὸ ἱκνεῖσθαι. ἢ ὑγρόν, ἀπὸ τῆς ἰκμάδος. Ἵει.] Ἐφίει, ἐπέπεμπεν.

480. Στῆσαν.] Ἔστησαν. Ἀνά θ' ἱστία λευκὰ πέτασσαν.] Ἀνελκύσαντες δὲ καὶ τὰ τῆς νεὼς ὀθόνια ἥπλωσαν.

481. Πρῆσεν.] Ἐνέπρησεν, ἐφύσησε. Μέσον ἱστίον.] Μέσην τὴν ὀθόνην. Ἀμφὶ δὲ κῦμα.] Περὶ δὲ τὸ κῦμα.

482. Στείρῃ.] Τῇ τρόπιδι τῆς νεώς,

Ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθα.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν.
Ὑψοῦ ἐπὶ ψαμάθοις ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν.
Αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ μήνιε, νηυσὶ παρήμενος ὠκυπόροισι
Διογενὴς Πηλέως υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς,
Οὔτέ ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτέ ποτ' ἐς πόλεμόν γ'· ἀλλὰ φθινύθησκε φίλον (κῆρ,
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν Θεοὶ αἰὲν ἐόντες
Πάντες ἅμα, Ζεὺς δ' ἦρχε· Θέτις δ' οὐ λήθετ' ἐφετμέων

νεώς, τῶν σανίδων ὑπάρχει. Πορφύρεον.] Μέλαν. Μεγάλ' ἴαχε.] Μεγάλως ἤχει. Νηὸς ἰούσης.] Τῆς νεὼς πορευομένης. ὅ ἐστι πλεούσης.

483. Ἔθεεν.] Ἔτρεχε, νῦν δὲ Ἔπλει. Κατὰ κῦμα.] Κατὰ τὴν θάλασσαν. Διαπρήσσουσα.] Διαπερῶσα, διερχομένη. Κέλευθον.] Πλοῦν. ἄλλοτε δὲ τὴν διὰ τῆς γῆς ὁδόν.

484. Αὐτὰρ ἐπεί.] Ἐπειδὴ δέ. Ἵκοντο.] Παρεγένοντο. Εὐρύν.] Πλατύν, μέγαν.

485. Οἵγε.] Οὗτοι. Ἐπ' ἠπείροιο.] Ἐπὶ τῆς γῆς. Ἔρυσσαν.] Ἀνείλκυσαν.

486. Ὑψοῦ.] Ἐφ' ὕψους. Ἐπὶ ψαμάθοις.] Ἐπὶ τῆς ψάμμου. Ὑπό δέ.] Ὑποκάτω δέ. Ἕρματα.] Ἐρείσματα, στηρίγματα. Μακρά.] Μεγάλα. Τάνυσσαν.] Κατὰ μῆκος ὑπέθηκαν.

487. Ἐσκίδναντο.] Ἐσκεδάννυντο, ἐσκορπίζοντο. Κλισίας.] Σκηνάς. Νέας.] Τὰς ναῦς.

488. Αὐτὰρ ὁ.] Οὗτος δέ. Μήνιε.] Ὠργίζετο. Παρήμενος.] Παρακαθήμενος. Ὠκυπόροισι.] Ταχείαις.

489. Διογενής.] Εὐγενέστατος.

490. Πωλέσκετο.] Ἀνεστρέφετο, παρεγένετο. Κυδιάνειραν.] Ἐνδόξους ἄνδρας ἔχουσαν, ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν.

491. Φθινύθεσκε.] Διέφθειρεν.

492. Αὖθι.] Αὐτόθι, ἐπὶ τόπου. Ποθέεσκεν.] Ἐπεπόθει. ἐπεζήτει. Ἀϋτήν.] Βοήν. ἀπὸ δὲ τοῦ παρακολουθοῦντος φησὶ τὴν μάχην.

493. Ἐκ τοῖο.] Ἐξ ἐκείνου τοῦ χρόνου. Δυωδεκάτη.] Δωδεκάτη. Γένετο.] Ἐγένετο.

494. Ἴσαν.] Ἐπορεύοντο. Αἰὲν ἐόντες.] Οἱ διὰ παντὸς ὄντες, ἀθάνατοι.

495. Ἅμα.] Ὁμοῦ, καὶ κατὰ τὸ αὐτό. Ἦρχε.] Ἡγεῖτο. Οὐ λήθη.] Οὐκ ἐπελάθετο. Ἐφετμέων.] Ἐντολῶν.

Παιδὸς ἑοῦ, ἀλλ' ἥγ' ἀνεδύσατο κῦμα θαλάσσης,
Ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν, Οὔλυμπόν τε·
Εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
Σκαιῇ· δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα,
Λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα,
Ἢ ἔπει, ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·
Τίμησόν μοι υἱὸν, ὃς ὠκυμορώτατος ἄλλων
Ἔπλετ'· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ἀλλὰ σύ πέρ μιν τῖσον, Ὀλύμπιε, μητίετα Ζεῦ·
Τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀ-
Υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τέ ἑ τιμῇ. (χαιοὶ

496. Παιδὸς ἑοῦ.] Τοῦ ἑαυτῆς υἱοῦ. Ἀλλ' ἥγε.] Ἀλλ' αὕτη. Ἀνεδύσατο.] Ἀνέδυ, ἀνῆλθεν.

497. Ἠερίη.] Ἑωθινὴ, ὀρθρινή.

498. Εὗρεν.] Κατέλαβεν. Εὐρύοπα.] Ἤτοι μεγαλόφθαλμον, παρὰ τοὺς ὦπας. ἢ μεγαλόφωνον, παρὰ τὴν ὄπα, ὅ ἐστι τὴν φωνήν. Κρονίδην.] Κρόνου παῖδα, Δία. Ἄτερ.] Χωρὶς τῶν ἄλλων. Ἥμενον.] Καθήμενον.

499. Ἀκροτάτῃ κορυφῇ.] Ἐπὶ τῆς ἀκρωρείας, ἐπὶ τῆς ὀξύτητος. Πολυδειράδος.] Πολλὰς ἐξοχὰς ἔχοντος, πολυαυχένου. Οὐλύμποιο.] Ὀλύμπου.

500. Καί ῥα.] Καὶ δή. Πάροιθεν.] Ἔμπροσθεν. Αὐτοῖο.] Αὐτοῦ. Λάβεν.] Ἐλάβετο, ἐκράτησε.

501. Σκαιῇ.] Ἀριστερᾷ. Δεξιτερῇ.] Δεξιᾷ. Ἀνθερεῶνος.] Τοῦ ὑπὸ τὸ γένειον τόπου. παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν. Ἑλοῦσα.] Λαβομένη, κατέχουσα.

502. Λισσομένη.] Παρακαλοῦσα.

503.] Εἴ ποτε δή σε.] Ἐάν ποτέ σε. Μετ' ἀθανάτοισιν.] Ἐν τοῖς θεοῖς. Ὄνησα.] Ὠφέλησα.

504. Ἢ ἔπει.] Ἢ λόγῳ.

505. Ὠκυμορώτατος.] Ταχυθάνατος.

506. Ἔπλετο.] Ἐγένετο. Ἀτάρ μιν νῦν γε.] Νῦν δὲ δὴ αὐτόν.

507. Ἑλὼν γάρ.] Λαβὼν γὰρ ἔχει παρ' ἑαυτῷ. Ἀπούρας.] Ἀφελόμενος.

508. Τῖσον.] Τιμῆς ἀξίωσον, δόξασον. Μητίετα.] Βουλευτικώτατε.

509. Τόφρα.] Ἐπιτοσοῦτον. Τίθει.] Πάρεχε. τὸ ἑξῆς, ἕως τούτου πάρεχε τοῖς Τρωσὶ δύναμιν. Ὄφρ' ἂν Ἀχαιοί.] Ἕως ἂν οἱ Ἕλληνες.

510. Τίσωσι.] Τιμήσωσιν. Ὀφέλλωσιν.]

Ὣς φάτο· τὴν δ' οὔτι προσέφη νεφεληγερέτα Ζεύς,
Ἀλλ' ἀκέων δὴν ἧσο· Θέτις δ' ὡς ἥψατο γούνων,
Ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ ἤρετο δεύτερον αὖθις.
Νημερτὲς μὲν δή μοι ὑπόσχεο, καὶ κατάνευσον,
Ἢ ἀπόειπ'· ἐπεὶ οὔ τοι ἔπι δέος· ὄφρ' εὖ εἰδῶ,
Ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη Θεός εἰμι.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς,
Ἦ δὴ λοίγια ἔργ' ὅτ' ἔμ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅταν μ' ἐρέθῃσιν ὀνειδίοις ἐπέεσσιν.
Ἡ δὲ καὶ αὔτως μ' αἰεὶ ἐν ἀθανάτοισι Θεοῖσι
Νεικεῖ, καί τέ με φησὶ μάχῃ Τρώεσσιν ἀρήγειν·
Ἀλλὰ σὺ μὲν νῦν αὖθις ἀπόστιχε, μή σε νοήσῃ

φέλλωσιν.] Αὐξήσωσιν. Ἕ.] Αὐτόν.

511. Οὔτι.] Οὐδέν. Νεφεληγερέτα.] Νεφῶν ἀθροιστικός.

512. Ἀκέων.] Ἡσυχάζων. Δήν.] Ἐπὶ πολὺν χρόνον. Ἧσο.] Ἐκαθέζετο.

513. Ὣς.] Οὕτως. Ἤχετ'.] Εἴχετο, ἐκράτει. τῷ παθητικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ. Ἐμπεφυυῖα.] Ἐμπλέξασα τὰς χεῖρας. ἰσχυρῶς κρατήσασα. Ἤρετο.] Ἀνηρώτα. Δεύτερον αὖθις.] Ἐκ δευτέρου πάλιν.

514. Νημερτές.] Ἀληθές. Ὑπόσχεο, καὶ κατάνευσον.] Δὶς τὸ αὐτὸ πέφρακεν, ἐπιτάσεως χάριν. ἀντὶ τοῦ, ὑπόσχου μοι.

515. Ἢ ἀπόειπε.] Ἢ ἀπαρνῆσαι, καὶ ἄπειπον. Ἐπεὶ οὔ τοι.] Ἐπεὶ οὐδαμῶς σοι. Ἔπι.] Ἔπεστι. Δέος.] Φόβος. τουτέστιν ἐπειδὴ οὐ φοβῇ τῶν Θεῶν τινα. Ὄφρ' εὖ εἰδῶ.] Ὅπως καλῶς μάθω.

516. Ὅσσον ἐγώ.] Ὁπόσον ἐγώ. Μετὰ πᾶσιν.] Ἀντὶ τοῦ, ἐν ἅπασι τοῖς ἀνθρώποις. Ἀτιμοτάτη εἰμί.] Ἄτιμος ὑπάρχω.

517. Μέγ' ὀχθήσας.] Μέγα στενάξας, καὶ δεινοπαθήσας. Νεφεληγερέτα.] Νεφῶν ἀθροιστικός.

518. Ἦ δὴ λοίγια.] Ὄντως δὴ ὀλέθρια. Ἐχθοδοπῆσαι.] Ἐχθρὸν καταστῆσαι. Ἐφήσεις.] Ἐποτρυνεῖς, ἐφορμήσεις, ὅ ἐστιν, ἀναγκάσεις.

519. Ἐρέθῃσιν.] Ἐρεθίζει. ἐρεθίζειν δὲ, τὸ παροξύνειν. Ὀνειδείοις.] Ὀνειδιστικοῖς, ὑβριστικοῖς. τὸ δὲ ὅλον, ὁπότ' ἂν με ἡ Ἥρα, ὑπονοήσασά σοι παρέχειν χάριν, παροξύνῃ, χρωμένη λόγοις ἐρεθιστικοῖς.

520. Αὔτως.] Εἰκαίως, ματαίως. Αἰεί.] Διαπαντός.

521. Νεικεῖ.] Κακολογεῖ, λοιδορεῖ. Καί τέ μέ φησι.] Καὶ ἐμὲ λέγει. Ἀρήγειν.] Βοηθεῖν.

522. Ἀπόστιχε.] Ἀπαλλάσσου, ἀναχώρει. Μή σε νοήσῃ.] Μή σε θεάσηται.

Ἥρῃ· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω.
Εἰ δ' ἄγε, τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς.
Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
Τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν,
Οὐδ' ἀτελεύτητόν γ', ὅ,τι κεν κεφαλῇ κατανεύσω.
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
Κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.
Τώ γ' ὣς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
Εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Ζεὺς δὲ ἑὸν πρὸς δῶμα. Θεοὶ δ' ἅμα πάντες ἀνέσταν
Ἐξ ἑδέων, σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
Μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες.
Ὣς ὁ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
Ἠγνοίησεν, ἰδοῦσ' ὅτι οἱ συμφράσσατο βουλὰς

523. Μελήσεται.] Δι' ἐπιμελείας γενήσεται. Τελέσσω.] Τελειώσω, πληρώσω.

524. Εἰ δ' ἄγε τοι.] Ἰδοὺ δή σοι. Κατανεύσομαι.] Ἐπινεύσω. Ὄφρα πεποίθῃς.] Ὅπως ἀκριβῶς πιστεύσῃς μοι.

525. Ἐξ ἐμέθεν.] Ἐξ ἐμοῦ.

526. Τέκμωρ.] Τέλος, τεκμήριον. Παλινάγρετον] Παλισύλλεκτον, εἰς τοὐπίσω ληπτόν. ἐξ οὗ, ψευδὲς, ἢ μεταμελητόν. Οὐδ' ἀπατηλόν.] Οὐδ' ἀπατηλικὸν καὶ ψευδές.

527. Οὐδ' ἀτελεύτητον.] Οὐδ' ἀτελείωτον, ἀπλήρωτον. Ὅ,τι κεν.] Ὅπερ ἄν.

528. Ἦ.] Ἤφη, εἶπε. Κυανέῃσι.] Κυανέαις, μελαίναις. Ἐπ' ὀφρύσι νεῦσεν.] Ταῖς ὀφρύσιν ἐπένευσεν. τμῆσις.

529. Ἀμβρόσιαι.] Θεῖαι. Χαῖται.] Τρίχες. Ἐπερρώσαντο.] Ἐπεσείσθησαν.

530. Κρατὸς ἀπ' ἀθανάτοιο.] Ἀπὸ τῆς ἀθανάτου κεφαλῆς. Ἐλέλιξεν.] Ἐκίνησεν, ἔσεισε.

531. Τώ γ' ὥς.] Οὗτοι μὲν δὴ οὕτως. Βουλεύσαντε.] Βουλευσάμενοι. δυϊκῶς.] Διέτμαγεν.] Διεχωρίσθησαν. Εἰς ἅλα ἆλτο.] Εἰς τὴν θάλασσαν καθήλατο, ἅτε δὴ οὖσα ἐνάλιος δαίμων. Αἰγλήεντος.] Λαμπροῦ. παρὰ τὴν αἴγλην.

533. Ἑόν.] Πρὸς τὸ ἴδιον. Δῶμα.] Οἴκημα.

534. Ἐξ ἑδέων.] Ἐκ τῶν καθεδρῶν. Σφοῦ.] Ἰδίου. Ἐναντίον.] Ἐξεναντίας. Ἔτλη.] Ὑπέμεινεν.

535. Ἐπερχόμενον.] Ἐρχόμενον, ἥκοντα. Ἄντιοι.] Ἐξεναντίας.

536. Ὣς ὁ μέν.] Οὕτως μὲν δὴ οὗτος. Θρόνου.] Καθέδρας.

537. Ἠγνοίησεν.] Ἠγνόησεν. Ὅτι οἱ.] Ὅτι αὐτῷ. Συμφράσσατο.] Συνεβουλεύσατο.

Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος·
Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα·
Τίς δ᾽ αὖ τοι, δολομῆτα, Θεῶν συμφράσσατο βουλάς;
Αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα,
Κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τι πώ μοι
Πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅ,ττι νοήσεις.
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ ἀνδρῶν τε Θεῶν τε·
Ἥρη, μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
Εἰδήσειν· χαλεποί τοι ἔσοντ᾽, ἀλόχῳ περ ἐούσῃ.
Ἀλλ᾽ ὃν μέν κ᾽ ἐπιεικὲς ἀκουέμεν, οὔτις ἔπειτα
Οὔτε Θεῶν πρότερος τόνγ᾽ εἴσεται, οὔτ᾽ ἀνθρώπων·
Ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε Θεῶν ἐθέλοιμι νοῆσαι,
Μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπας;

538. Ἀργυρόπεζα.] Λαμπρόπους, ἀπὸ μέρους· ὅλη καλή. πέζα γὰρ, ὁ πούς.] Ἁλίοιο γέροντος.] Τοῦ θαλασσίου Νηρέως.

539. Αὐτίκα.] Παραχρῆμα, εὐθέως. Κερτομίοισιν.] Ἐρεθιστικοῖς, χλευαστικοῖς. νῦν δὲ, τοῖς τὸ κέαρ, ὅ ἐστι τὴν ψυχὴν, τέμνουσι καὶ λυποῦσι λόγοις.

540. Τίς δ᾽ αὖ τοι.] Τίς δή σοι. Δολομῆτα.] Δόλια βουλευόμενε.

541. Αἰεί τοι φίλον.] Διαπαντός σοι προσφιλές. Ἐμεῦ.] Ἐμοῦ. Νόσφι.] Χωρίς. Ἐόντα.] Ὄντα, ὑπάρχοντα.

542. Κρυπτάδια.] Κρυφαῖα, λαθραῖα. Φρονέοντα.] Διανοούμενον, φρονοῦντα. Δικαζέμεν.] Δικάζειν. Οὐδέ τι πώ μοι.] Οὐδέ ποτέ μοι.

543. Πρόφρων.] Προθύμως. Τέτληκας.] Ὑπομεμένηκας, κεκαρτέρηκας. Ὅ,ττι νοήσεις.] Ὅπερ ἂν ἐνθυμηθῇς.

544. Πατὴρ ἀνδρῶν τε Θεῶν τε.] Ὁ Ζεύς.

545. Ἐπιέλπεο.] Ἔλπιζε. Μύθους.] Λόγους.

546. Εἰδήσειν.] Μαθήσεσθαι, γνῶναι. Χαλεποί τοι ἔσονται.] Βλαβεροί σοι γενήσονται. Ἀλλόχῳ.] Γυναικί. Ἐούσῃ.] Ὑπαρχούσῃ.

547. Ἀλλ᾽ ὃν μέν κ᾽ ἐπιεικές.] Ἀλλ᾽ ὅντινα μὲν λόγον προσήκει σὲ ἀκοῦσαι παρ᾽ ἐμοῦ, τοῦτον οὐδεὶς πρὸ σοῦ μάθε οὔτε Θεῶν οὔτε ἀνθρώπων. Ἐπιεικές.] Πρέπον.

548. Εἴσεται.] Γνώσεται, μάθῃ.

549. Ὃν δ᾽ ἂν ἐγών.] Ὅντινα δ᾽ ἂν ἐγώ. Ἀπάνευθεν.] Ἄποθεν, χωρίς, ἰδίως. Ἐθέλοιμι.] Ἐθέλω. Νοῆσαι.] Ἐνθυμηθῆναι.

550. Μήτι σύ.] Μηδαμῶς σὺ ταῦτα. Διείρεο.] Ἀνερώτα. Μετάλλα.] Πολυπραγμόνει.

551. Βοῶπις.] Εὐόφθαλμος, καλή. Πότνια.] Σεβασμία, ἔντιμος.

552. Αἰνότατε.] Δεινότατε, ἐπίφοβε.

Καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι, οὔτε μεταλλῶ·
Ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι, ἅσσ' ἐθέλησθα.
Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα, μή σε παρείπῃ
Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Ἠερίη γὰρ σοί γε παρέζετο, καὶ λάβε γούνων.
Τῇ σ' οἴω κατανεῦσαι ἐτήτυμον, ὡς Ἀχιλῆα
Τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα
Δαιμονίη, αἰεὶ μὲν οἴεαι, οὐδέ σε λήθω· (Ζεύς.
Πρῆξαι δ' ἔμπης οὔτι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
Μᾶλλον ἐμοὶ ἔσεαι, τὸ δέ τοι καὶ ῥίγιον ἔσαι.
Εἰ δ' οὕτω τοῦτ' ἐστιν, ἐμοὶ μέλλει φίλον εἶναι.
Ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
Μή νύ τοι οὐ χραίσμωσιν, ὅσοι Θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.

φοβε. Μῦθον.] Λόγον. Ἔειπας] Εἶπας, ἔλεξας.

553. Καὶ λίην σε.] Καὶ πάνυ σε. Πάρος.] Ἐν τῷ ἔμπροσθεν χρόνῳ. Οὔτ' εἴρομαι.] Οὔτε ἀνηρώτησα. Μεταλλῶ.] Ἐπιζητῶ.

554. Εὔκηλος.] Ἥσυχος. Φράζεαι.] Διενοοῦ, ἐβουλεύου. Ἅσσα.] Ἅτινα. Ἐθέλησθα.] Ἤθελες.

555. Αἰνῶς.] Δεινῶς, χαλεπῶς. Δείδοικα.] Εὐλαβοῦμαι.

557. Ἠερίη.] Ὀρθρινή.

558.] Τῇ σ' οἴω.] Ταύτῃ σε ὑπονοῶ. Κατανεῦσαι.] Ὑποσχέσθαι. ἀντὶ τοῦ κατανενευκέναι] καὶ ὑποσχέσθαι. Ἐτήτυμον.] Ἀληθές.

559. Ὀλέσῃς] Ἀπολέσῃς. Πολέας.] Πολλούς.

561. Δαιμονίη] Νῦν, κακὴ κεφαλή. ὅτε δὲ εὐδαίμων, μακαρία. Αἰεὶ μὲν οἴεαι.] Διαπαντὸς μέν με ὑπονοεῖς, ἅπαντα ὀργῇ πράττουσα, καὶ οὐ λογιζομένη. Λήθω.] Λανθάνω.

562. Πρῆξαι.] Πρᾶξαι δὲ οὐδὲν δύνασαι. Ἔμπης.] Ὅμως. Οὔτι δυνήσεαι.] Οὐδὲν δυνηθήσῃ. Ἀλλ' ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι.] Ἀλλ' ἀποθύμιός μοι πλέον καὶ ἐχθρὰ γενήσῃ.

563. Ῥίγιον] Φρικτὸν, φοβερόν.

564. Εἰ δ' οὕτω τοῦτ' ἐστι.] Εἰ δὲ τοῦθ' οὕτως ἔχον ἐστὶν, ἔοικε κἀμοὶ προσφιλὲς εἶναι. Μέλλει.] Ἔοικεν.

565. Ἀκέουσα] Ἡσυχάζουσα, σιωπῶσα. Κάθησο.] Καθέζου. Ἐπιπείθεο.] Πείθου.

566. Οὐ χραίσμωσιν.] Οὐκ ἐπιβοηθήσωσιν.

567. Ἆσσον ἰόνθ'.] Ἐγγὺς παραγινόμενον. Ὅτε κέν τοι.] Ὅτε ἂν σοι. Ἀάπτους.] Ἀπροσίτους, ἀπροσπελάστους, διὰ μέγεθος. Ἐφείω.] Ἐπιβάλω, ἐπενέγκω.

Ὣς ἔφατ'· ἔδδεισαν δὲ βοῶπις πότνια Ἥρη
Καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ.
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς Θεοὶ οὐρανίωνες.
Τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
Μητρὶ φίλῃ ἐπίηρα φέρων λευκωλένῳ Ἥρῃ·
Ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐδ' ἔτ' ἀνεκτά,
Εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
Ἐν δὲ Θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
Πατρὶ φίλῳ ἐπίηρα φέρειν Διΐ, ὄφρα μὴ αὖτε
Νεικείῃσι πατήρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.
Εἴπερ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς,
Ἐξ ἑδέων στυφελίξαι· ὁ γὰρ πολὺ φέρτατός ἐστιν.

568. Βοῶπις.] Εὐόφθαλμος, καλή.

569. Καί ῥα.] Καὶ δή. Καθῆστο.] Ἐκαθέζετο. Ἐπιγνάμψασα. Φίλον κῆρ.] Ἐπικάμψασα τὴν αὐτῆς ψυχήν. ὅ ἐστι πραΰνασα.

570. Ὤχθησαν.] Ἀνεστέναξαν, ἐδεινοπάθησαν διὰ τὴν Ἥραν. Ἀνὰ δῶμα.] Κατὰ τὴν οἰκίαν. Οὐρανίωνες.] Οἱ ἐν οὐρανῷ κατοικοῦντες.

571. Τοῖσι δ' Ἥφαιστος.] Ἐν τούτοις δὲ ὁ Ἥφαιστος. Κλυτοτέχνης.] Ὁ περὶ τὴν χαλκευτικὴν ἔνδοξος. Ἦρχ' ἀγορεύειν.] Ἤρξατο λέγειν.

572. Ἐπίηρα.] Τὴν μετ' ἐπικουρίας χάριν. Λευκωλένῳ] Λευκοβραχίονι, εὐπρεπεστάτῃ.

573. Ἦ δή.] Ἀληθῶς δή, ὄντως δή. Λοίγια.] Ὀλέθρια. Οὐδ' ἔτ' ἀνεκτά.] Οὐδὲ ἔτι ἀνασχετὰ, καὶ ὑπομονῆς ἄξια. Ἔσσεται.] Γενήσεται.

574. Εἰ δὴ σφώ.] Ἐὰν δὴ ὑμεῖς οἱ Θεοί.] Ἕνεκα θνητῶν.] Χάριν τῶν φθαρτῶν ἀνθρώπων. Ἐριδαίνετον.] Ἐρίζετε, φιλονεικεῖτε, τοῖς Θεοῖς θόρυβον ἐμποιεῖτε. Ὧδε.] Οὕτως.

575. Κολῳόν.] Θόρυβον. Ἐλαύνετον.] Διεγείρετε, ἐλαύνετε.

576. Ἐσθλῆς.] Ἀγαθῆς. Ἦδος.] Ἡδονή, ὠφέλεια. Ἐπεὶ τὰ χερείονα νικᾷ.] Ἐπειδὴ ὅλα τὰ χείρονα τῶν καλῶν πραγμάτων ἐπικρατέστερά ἐστι.

577. Παράφημι.] Παραινῶ, συμβουλεύω. Νοεούσῃ.] Ἐπισταμένῃ, φρονούσῃ.

578. Ὄφρα μὴ αὖτε.] Ὅπως μὴ πάλιν.

579. Νεικείῃσι.] Κακολογῇ, ὀνειδίζῃ.

580.] Εἴπερ γὰρ καὶ ἐθέλῃσιν.] Ἐὰν γὰρ ὅλως βουληθῇ. Ἀστεροπητής.] Ἀστραπτικὸς, ἀστραπὰς ποιῶν.

581. Ἐξ ἑδέων.] Ἐκ τῶν καθεδρῶν. Στυφελίξαι.] Ἀποκινῆσαι, ἀναστρέψαι. Πολυφέρτερος.] Καταπολὺ κρείττων, ἰσχυρότερος.

582. Κα

Ἀλλὰ σὺ τόνγ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
Αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν.
Ὣς ἄρ' ἔφη, καὶ ἀναΐξας, δέπας ἀμφικύπελλον
Μητρὶ φίλῃ ἐν χερσὶ τίθει, καί μιν προσέειπε.
Τέτλαθι, μῆτερ ἐμὴ, καὶ ἀνάσχεο, κηδομένη περ,
Μή σε, φίλην περ ἐοῦσαν, ἐν ὀφθαλμοῖσιν ἴδωμαι
Θεινομένην· τότε δ' οὔτι δυνήσομαι, ἀχνύμενός περ,
Χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
Ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα,
Ῥίψε, ποδὸς τεταγὼν, ἀπὸ βηλοῦ θεσπεσίοιο·
Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ· ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·
Ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.

582. Καθάπτεσθαι.] Καταπραΰνειν, ἐπέχειν. Μαλακοῖσιν.] Μαλακευτικοῖς, πραέσι.

583. Αὐτίκα.] Παραχρῆμα, εὐθέως. Ἵλαος.] Ἵλεως, εὐμενής.

584. Ἀναΐξας.] Ἀνορμήσας, ἀναστάς. Δέπας.] Ἔκπωμα, ποτήριον. Ἀμφικύπελλον·] Ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές.

585. Τίθει.] Ἐδίδου. Καί μιν.] Καὶ αὐτήν.

586. Τέτλαθι.] Καρτέρησον, ὑπόμεινον. Ἀνάσχεο.] Ἀνάσχου, ὑπόμεινον. Κηδομένη περ.] Καίπερ λυπουμένη.

587. Ἐοῦσαν.] Οὖσαν. Ἴδωμαι] Θεάσωμαι.

588. Θεινομένην.] Πληττομένην, τυπτομένην. Τότε δ' οὔτι.] Τότε δὲ οὐδέν. Ἀχνύμενός περ.] Καίπερ λυπούμενος.

589. Χραισμεῖν.] Βοηθεῖν. Ἀργαλέος γάρ.] Χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι. ὅ ἐστιν, ἐναντιοῦσθαι καὶ φιλονεικεῖν.

590. Ἄλλοτε.] Καὶ ἐν ἄλλῳ χρόνῳ. Ἀλεξέμεναι.] Ἐπιβοηθεῖν. Μεμαῶτα.] Προθυμούμενον.

591. Ῥίψεν.] Ἔρριψε. Τεταγών.] Λαμβάνων. Ἀπὸ βηλοῦ.] Ἀπὸ τοῦ οὐρανοῦ. Θεσπεσίοιο.] Θείου, θαυμαστοῦ.

592. Πᾶν δ' ἦμαρ φερόμην.] Δι' ὅλης δὲ τῆς ἡμέρας ἐφερόμην. Ἅμα δ' ἠελίῳ καταδύντι.] Ἅμα δὲ τῷ δῦναι τὸν ἥλιον.

593. Κάππεσον.] Κατηνέχθην, κατέπεσον ἐν τῇ Λήμνῳ· ἡ δὲ Λῆμνος, νῆσός ἐστι Θράκης. Ὀλίγος δέ τι θυμὸς ἐνῆεν.] Ἐνῆν, ἀντὶ τοῦ, ἐλειποψύχουν, βραχείας μοι τῆς ψυχῆς γινομένης.

594. Ἔνθα με.] Τότε με. Σίντιες.] Οἱ Λήμνιοι. Ἄφαρ.] Εὐθέως, ταχέως. Κομίσαντο.] Ἐπιμελείας ἠξίωσαν, καὶ ἀνείλοντο.

Ὡς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη·
Μειδήσασα δὲ, παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
Αὐτὰρ ὁ τοῖς ἄλλοισι Θεοῖς ἐνδέξια πᾶσιν
Ὠινοχόει, γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων.
Ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι Θεοῖσιν,
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὡς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Δαίνυντ᾽· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ᾽ Ἀπόλλων,
Μουσάων θ᾽, αἳ ἄειδον, ἀμειβόμεναι ὀπὶ καλῇ.
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
Ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησ᾽ εἰδυίῃσι πραπίδεσσι·

595. Μείδησεν.] Ἐμειδίασεν, ἐγέλασε.

596. Κύπελλον.] Ἔκπωμα, ποτήριον. παρὰ κοιλότητα.

597. Ἐνδέξια.] Ἀντὶ τοῦ, ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενος.

598. Ὠινοχόει.] Ἀντὶ τοῦ, ἐνέχεε. τὸ νέκταρ ἐκίρνα. νέκταρ δέ ἐστι τῶν Θεῶν πόμα. Ἀπὸ κρητῆρος.] Ἀπὸ τοῦ κρατῆρος. Ἀφύσσων.] Ἀρυόμενος, ἀπαντλῶν.

599. Ἄσβεστος.] Ἀκατάπαυστος, πολύς. ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός. Ἐνῶρτο.] Διηγείρετο. Μακάρεσσι.] Τοῖς μακαρισμοῦ ἀξίοις, ἀθανάτοις.

600. Διὰ δώματα.] Διὰ τῶν οἴκων. Ποιπνύοντα.] Ἐνεργοῦντα, διακονοῦντα.

601. Πρόπαν ἦμαρ.] Δι᾽ ὅλης τῆς ἡμέρας.

602. Δαίνυντο·] Εὐωχοῦντο. Ἐς ἠέλιον καταδύντα.] Ἕως ἡλίου δυσμένου.

603. Φόρμιγγος.] Κιθάρας. Περικαλλέος.] Πάνυ καλῆς, ἐνδόξου. Ἔχεν.] Εἶχε. τέσσαρες γὰρ τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι, μουσικὴ, τοξικὴ, ἰατρικὴ, μαντική.

604. Μουσάων θ᾽.] Μουσῶν τε. Αἳ ἄειδον.] Αἵτινες ᾖδον. Ἀμειβόμεναι.] Ἐξ ἀμοιβῆς καὶ διαδοχῆς ᾄδουσαι. Ὀπί.] Φωνῇ.

606. Κακκείοντες.] Κατακοιμηθησόμενοι. Ἔβαν.] Ἐπορεύθησαν.

607. Ἧχι.] Ἔνθα, ὅπου. Περικλυτός.] Ὁ πάνυ ἔνδοξος. Ἀμφιγυήεις.] Ὁ ἀμφοτέροις τοῖς γυίοις, ὅ ἐστι τοῖς ποσὶ, χωλός.

608. Εἰδυίῃσιν.] Ἐπιστήμοσιν, ἐμπείροις. Πραπίδεσσι.] Φρεσὶ, διανοίαις.

Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
Ἔνθα καθεῦδ' ἀναβάς· παρὰ δὲ, χρυσόθρονος Ἥρη.

609. Πρὸς ὃν λέχος.] Ὁ δὲ Ζεὺς, φησὶν, εἰς τὴν ἰδίαν κοίτην παρεγίνετο.

610. Ἔνθα πάρος.] Ὅπου καὶ πρότερον. Κοιμᾶθ'.] Ἐκοιμᾶτο. Ὅτε μιν.] Ὅτε αὐτόν. Γλυκύς.] Ἡδύς. Ἱκάνοι.] Καταλάβοι.

611. Καθεῦδεν.] Ἐκοιμᾶτο. Ἀναβάς.] Ἀνελθών. Παρὰ δέ.] Πὰρ' αὐτὸν δέ. Χρυσόθρονος.] Χρυσοῦν θρόνον ἔχουσα.

ΤΗΣ ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Έ.

Εἶ, βάλλει Κυθέρειαν, Ἄρηά τε, Τυδέος υἱός.

ΕΝΘ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
Δῶκε μένος καὶ θάρσος, ἵν' ἔκδηλος μετὰ πᾶσιν
Ἀργείοισι γένοιτο, ἰδὲ κλέος ἐσθλὸν ἄροιτο.
Δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,
Ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅστε μάλιστα
Λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο·
Τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων.

1. Ἔνθ' αὖ.] Τότε δή. Ἐπίῤῥημα χρονικόν. ἄλλως δὲ, ἐνταῦθα, τοπικόν.

2. Δῶκε.] Ἔδωκε, παρέσχε. Μένος.] Δύναμιν. Καὶ θάρσος.] Καὶ ψυχῆς ἀνδρίαν, καὶ πεποίθησιν. Ἔκδηλος.] Διάδηλος, φανερός. Μετὰ πᾶσιν.] Ἐν πᾶσιν.

3. Κλέος ἐσθλόν. Δόξαν ἀγαθήν. Ἄροιτο.] Ἀπενέγκοιτο, λάβοι.

4. Δαῖέ.] Ἔκαιεν, ἔλαμπεν. Ἀκάματον.] Πολύ.

5. Ἀστέρ' ὀπωρινῷ.] Τῷ κατὰ τὸν καιρὸν ὀπώρας ἀνατέλλοντι ἀστέρι. Ἐναλίγκιον.] Παραπλήσιον, ὅμοιον, τῇ αὐγῇ δῆτα.

6. Παμφαίνῃσι.] Πανταχοῦ φαίνει. Λελουμένος Ὠκεανοῖο.] Νεωστὶ ἀνατέλλων ἐξ Ὠκεανοῦ.

7. Τοῖόν οἱ πῦρ δαῖε.] Τοιοῦτον αὐτοῦ πῦρ ἀνῆπτο.

8. Ὦρσε

Ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο.
Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειὸς, ἀμύμων,
Ἱρεὺς Ἡφαίστοιο· δύω δέ οἱ υἷεες ἤστην,
Φηγεὺς, Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης·
Τώ οἱ, ἀποκρινθέντε, ἐναντίω ὁρμηθήτην·
Τὼ μὲν ἀφ' ἵπποιϊν, ὁ δ' ἀπὸ χθονὸς ὤρνυτο πεζός.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος,
Τυδείδεω δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Τυδείδης, τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς,
Ἀλλ' ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ' ἀφ' ἵππων.
Ἰδαῖος δ' ἀπόρουσε, λιπὼν περικαλλέα δίφρον,
Οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο·
Οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν·
Ἀλλ' Ἥφαιστος ἔρυτο, σάωσε δὲ νυκτὶ καλύψας,

8. Ὦρσε δέ μιν.] Διήγειρε δὲ αὐτόν. Κατὰ μέσσον.] Κατὰ τὸ μέσον τῆς μάχης. Κλονέοντο.] Διεταράσσοντο.

9. Ἀφνειός.] Πλούσιος.

10. Ἱρεύς.] Ἱερεὺς, θύτης. Ἤστην.] Ἦσαν, δυϊκῶς.

11. Μάχης εὖ εἰδότε πάσης.] Πάσης μάχης ἐπιστήμονες.

12. Τώ οἱ.] Οἵτινες αὐτῷ. Ἀποκρινθέντε.] Ἀποχωρισθέντες τοῦ οἰκείου πλήθους δηλονότι. Ὁρμηθήτην.] Ὡρμήθησαν δυϊκῶς.

13. Τὼ μέν.] Οὗτοι μέν· ἀφ' ἵπποιϊν.] Ἀπὸ τῶν ἵππων. τοῦτ' ἔστιν, ἅρματος. Ὁ δέ.] Διομήδης. Ὤρνυτο.] Ὥρμησεν.

14. Οἱ δ' ὅτε δή.] Ἐπειδὴ δὲ οὗτοι. Σχεδόν.] Ἐγγύς. Ἐπ' ἀλλήλοισιν ἰόντες.] Ἀλλήλοις ἐπερχόμενοι.

15. Προΐει.] Ἐξέβαλε. προέπεμπεν.

16. Ἀκωκή.] Ἡ ἐπιδορατίς.

17. Ἔγχεος.] Τὸ δόρυ. Ὕστερος.] Δεύτερος.

18. Τοῦ δ' οὐχ ἅλιον.] Οὐδὲ τούτου μάταιον. Ἔκφυγεν.] Ἐξεπέμφθη, ἐξέπτη.

19. Μεταμάζιον.] Μεταξὺ τῶν μαζῶν. Ὦσεν.] Ἀπώσατο, κατέβαλεν.

20. Ἀπόρουσεν.] Ἀφώρμησε. Δίφρον.] Τὸ ἅρμα.

21. Οὐδ' ἔτλη.] Οὐδὲ ἐκαρτέρησε. Περιβῆναι.] Ὑπερμαχῆσαι. Ἀδελφειοῦ.] Ἀδελφοῦ. Κταμένοιο.] Ἀναιρεθέντος.

22. Ὑπέκφυγεν.] Ἐξέφυγεν.] Κῆρα μέλαιναν.] Τὴν θανατηφόρον μοῖραν.

23. Ἔρυτο.] Ἐρύσατο, ἐφύλαξε. Νυκτί.] Σκότει. Καλύψας.] Περιβαλὼν, σκεπάσας.

H 24. Ὡς

Ὡς δή οἱ μὴ πάγχυ γέρων ἀκαχημένος εἴη.
Ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς,
Δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ ἴδον υἷε Δάρητος,
Τὸν μὲν, ἀλευάμενον, τὸν δὲ, κτάμενον παρ' ὄχεσφιν,
Πᾶσιν ὀρίνθη θυμός. ἀτὰρ γλαυκῶπις Ἀθήνη
Χειρὸς ἑλοῦσ', ἐπέεσσι προσηύδα θοῦρον Ἄρηα·
Ἄρες, Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
Οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
Μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ,
Νῶϊ δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν;
Ὣς εἰποῦσα, μάχης ἐξήγαγε θοῦρον Ἄρηα·
Τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ' ἠϊόεντι Σκαμάνδρῳ.
Τρῶας δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα ἕκαστος
Ἡγεμόνων· πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἀρχὸν Ἁλιζώνων Ὀδίον μέγαν ἔκβαλε δίφρου·
Πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
Ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.

24. Ὡς δή οἱ μὴ πάγχυ γέρων.] Ὅπως μὴ αὐτῷ (Ἰδαίῳ) παντελῶς ὁ πρεσβύτης, ὁ γέρων Δάρης. Ἀκαχημένος εἴη.] Λυπηθείη.

28. Ἀλευάμενον.] Ἐκκλίνοντα, φεύγοντα. Κτάμενον.] Ἀνῃρημένον. Παρ' ὄχεσφι.] Παρὰ τοῖς ἅρμασι.

29. Ὀρίνθη.] Διεταράχθη.

30. Ἑλοῦσα.] Λαβοῦσα, κρατήσασα. Θοῦρον.] Ἐνθουσιαστικὸν, εὐκίνητον ἐν τῷ πολέμῳ.

31. Βροτολοιγέ.] Ἀνθρωποφθόρε. Μιαιφόνε.] Μιαινόμενε φόνοις. Τειχεσιπλῆτα.] Πορθητά.

32. Ἐάσαιμεν.] Ἐάσωμεν.

33. Μάρνασθαι.] Μάχεσθαι. Ὁπποτέροισιν.] Ὁποίοις αὐτῶν. Ὀρέξῃ.] Δώσει, παράσχοι. Ἔστι δὲ κυρίως, ἐκτείνειν.

34. Νῶϊ.] Ἡμεῖς οἱ δύο. Χασώμεσθα.] Ἐκφύγωμεν.

36. Καθεῖσε.] Καθεσθῆναι ἐποίησε, καθίδρυσεν. Ἐπ' ἠϊόεντι.] Ἐπὶ τῷ αἰγιαλοὺς καὶ ὄχθας ἔχοντι.

37. Ἔκλιναν.] Ἐς φυγὴν ἔτρεψαν. Ἕλεν.] Νῦν, ἀνεῖλεν.

40. Στρεφθέντι.] Εἰς φυγὴν τραπέντι, φεύγοντι. Μεταφρένῳ.] Νώτῳ.

41. Μεσσηγὺς.] Ἀναμέσον, μεταξύ. Ἔλασσε.] Διήλασεν, ἔπληξεν.

43. Ἐνή-

Ἰδομενεὺς δ' ἄρα Φαῖστον ἐνήρατο Μῄονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει·
Τὸν μὲν ἄρ' Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
Νύξ, ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον·
Ἤριπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε.
Τὸν μὲν ἄρ' Ἰδομενῆος ἐσύλευον θεράποντες.
Υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἵμονα θήρης,
Ἀτρείδης Μενέλαος ἕλ' ἔγχεϊ ὀξυόεντι,
Ἐσθλὸν θηρητῆρα· δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
Βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.
Ἀλλ' οὔ οἱ τότε γε χραῖσμ' Ἄρτεμις ἰοχέαιρα,
Οὐδὲ ἑκηβολίαι ᾗσιν τὸ πρίν γ' ἐκέκαστο·
Ἀλλά μιν Ἀτρείδης δουρικλειτὸς Μενέλαος
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρὶ,
Ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσεν.
Ἤριπε δὲ πρηνὴς, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Μηριόνης δὲ Φέρεκλον ἐνήρατο τέκτονος υἱὸν
Ἁρμονίδεω, ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα

43. Ἐνήρατο.] Ἐφόνευσε. Μῄονος.] Μαίονος. Λυδοῦ.] Ἔστι δὲ τὸ ὄνομα ἐθνικόν.

44. Τάρνης.] Τάρνη, πόλις Λυδίας, ἡ νῦν Σάρδις λεγομένη.

46. Νύξεν.] Ἔνυξεν, ἔπληξε.

47. Στυγερός.] Μισητὸς, φρικτός. Εἷλεν.] Ἔλαβεν.

48. Ἐσύλευον.] Ἐσύλουν, ἐσκύλευον, ἐγύμνουν.

49. Αἵμονα θήρης.] Ἐπιστήμονα κυνηγετικῆς.

50. Ὀξυόεντι.] Ὀξεῖ.

51. Θηρητῆρα.] Θηρευτὴν. κυνηγόν.

52. Ἄγρια.] Θηρία.

53. Χραῖσμεν.] Ἐβοήθησεν. Χραίσμω, Ἰακὸν, ἀντὶ τοῦ χραισμέω. Ἰοχέαιρα.] Ἡ ἰοῖς καὶ βέλεσι χαίρουσα, τοξότις.

54. Ἑκηβολίαι.] Εὐστοχίαι ἀπὸ μακράν. ἐμπειρία τοῦ βάλλειν ἀπὸ μακράν. Ἧσιν.] Αἷς. Ἐκέκαστο.] Ἐκεκόσμητο.

55. Δουρικλυτός.] Περὶ τὸ δόρυ ἔνδοξος. πολεμικός.

56. Πρόσθεν ἕθεν.] Ἔμπροσθεν αὐτοῦ.

57. Διὰ δὲ στήθεσφι.] Διὰ τοῦ στήθους.

58. Ἤριπεν.] Ἔπεσε. Πρηνής.] Ἐπὶ στόμα, ἐπὶ πρόσωπον, ἐπὶ κεφαλήν. Ἀράβησεν.] Ἤχησεν.

60. Ἁρμονίδεω.] Ἁρμονίδου.] τουτέστιν, υἱοῦ τοῦ Ἅρμονος. Δαίδαλα.] Ποικίλα.

Τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας,
Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο,
Οἷ τ' αὐτῷ· ἐπεὶ οὔτι θεῶν ἐκθέσφατα ᾔδη·
Τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε διώκων,
Βεβλήκει γλουτὸν κατὰ δεξιόν· ἡ δὲ διαπρὸ
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή.
Γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε.
Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης, Ἀντήνορος υἱόν,
Ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
Ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ.
Τὸν μὲν Φυλείδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν,
Βεβλήκει κεφαλῆς κατ' ἰνίον ὀξέϊ δουρί·
Ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός·
Ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν.

61. Τεύχειν.] Κατασκευάζειν, ποιεῖν. Ἔξοχα.] Ἐξόχως, ὑπερβαλλόντως. Ἐφίλατο.] Ἐφίλησε.

62. Τεκτήνατο.] Κατεσκεύασεν. Ἐΐσας.] Ἴσας. ὁμαλάς.

63. Ἀρχεκάκους.] Ἀρχὴν τῶν κακῶν παρασχούσας.

64. Οἷ τ' αὐτῷ.] Καὶ αὐτῷ ἐκείνῳ τῷ κατασκευάσαντι. δηλονότι, Φερέκλῳ. Ἐγένοντο.] Πέλοντο. ἐγεννήθησαν. Οὔτι.] Οὐδαμῶς. Ἐκθέσφατα.] Θεόφατα. τὰ ἐκ θεῶν μαντευόμενα.

65. Κατέμαρπτε.] Κατελάμβανε.

66. Γλουτόν.] Γλουτὸς, τὸ περὶ τοῖς σφαιρώμασιν ἰσχίον. ἡ κοτύλη. Γλουτοὶ, τὰ σκάφια τὰ ἴσχοντα τοὺς καθημένους.

67. Κατὰ κύστιν.] Κατὰ τὴν φύσκαν. ὅπερ ἐστὶν οὐροδόχον ἀγγεῖον.

68. Γνὺξ δ' ἔριπεν.] Ἐπὶ γόνυ ἔπεσεν. Οἰμώξας.] Στενάξας, βοήσας. Θάνατος δέ μιν ἀμφεκάλυψε.] Περιφραστικῶς, ἀπέθανεν.

69. Ἔπεφνεν.] Ἐφόνευσε.

70. Νόθος.] Ὁ μὴ ἐκ νομίμης γυναικὸς ὤν. Πύκα.] Ἐπιμελῶς.

71. Ἶσα φίλοισι τέκεσσι.] Ἐπίσης τοῖς προσφιλεστάτοις τέκνοις. Χαριζομένη.] Χάριν ποιοῦσα. Πόσεϊ ᾧ.] Τῷ ἰδίῳ ἀνδρί.

72. Φυλείδης.] Ὁ Φύλεως παῖς Μέγης. Ἐγγύθεν ἐλθών.] Ἐγγὺς παραγενόμενος.

73. Ἰνίον.] Τὸ κοῖλον τοῦ τένοντος. Κέκληται δὲ οὕτως διὰ τὸ νευρῶδες εἶναι. Ἤ, πλατὺ καὶ παχὺ νεῦρον, τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα.

74. Ἀν' ὀδόντας.] Κατὰ τῶν ὀδόντων. Τάμεν.] Ἀπέτεμεν.

75. Ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν.]

Εὐρύπυλος δ' Εὐαιμονίδης Ὑψήνορα δῖον,
Υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
Ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὡς τίετο δήμῳ·
Τὸν μὲν ἄρ' Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱὸς,
Πρόσθεν ἕθεν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον,
Φασγάνῳ ἀΐξας· ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν·
Αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην.
Τυδείδην δ' οὐκ ἂν γνοίης, ποτέροισι μετείη,
Ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς·
Θῦνε γὰρ ἀμπεδίον, ποταμῷ πλήθοντι ἐοικὼς,
Χειμάῤῥῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας·
Τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,
Οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων,
Ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος.

σιν.] Τὸ ψυχροποιὸν σίδηρον τοῖς ὀδοῦσιν ἔλαβεν.

76. Εὐαιμονίδης.] Εὐαίμονος παῖς Εὐρύπυλος.

78. Ἀρητήρ.] Ἱερεύς. Ἐτέτυκτο.] Κατεσκεύαστο. ἦν. Τίετο.] Ἐτιμᾶτο.

80. Μεταδρομάδην.] Ἐπιδραμών. ἐπιδιώξας. Ἔλασεν.] Ἔπληξε.

81. Φασγάνῳ.] Τῷ ξίφει. Ἀΐξας.] Ὁρμήσας. Ἀπὸ δ' ἔξεσεν.] Ἀπέξεσεν, ἀπέκοψε.

83. Πορφύρεος.] Μέλας. ἢ, ὁ δι' αἵματος. Κραταιή.] Ἰσχυρά.

84. Πονέοντο.] Ἐνήργουν.

85. Γνοίης.] Ἐπέγνως. Ποτέροισι μετείη.] Ἐν ποτέροις ἦν, ἐν ποίοις ὑπῆρχε, ποίων εἴη μέτοχος καὶ σύμμαχος.

86. Ὁμιλέοι.] Ἀναστρέφοιτο. συστρατεύοι.

87. Θῦνε.] Ἐμμανῶς ὥρμα. Ἀμπεδίον.] Διὰ τοῦ πεδίου. Πλήθοντι.] Πεπληρωμένῳ, πλημμυροῦντι.

88. Χειμάῤῥῳ.] Χείμαῤῥοι λέγονται οἱ μὴ ἀέναοι τὸ ὕδωρ ἔχοντες. διὰ δὲ χειμῶνος πληρούμενοι ὑπὸ τῶν συνεχῶν ὄμβρων. Ὦκα.] Ὀξέως. Ἐκέδασσε.] Ἐσκέδασε, διεσκόρπισε. Γεφύρας.] Τὰς διαβάσεις τῶν ποταμῶν.

89. Τόν δ'] Ὄν. Ἐεργμέναι.] Περιπεφραγμέναι, ἠσφαλισμέναι. Ἰσχανόωσιν.] Ἐπέχουσι, λύουσιν.

90. Ἀλωάων.] Χωρίων ἀμπελοφύτων, ἢ δενδροφύτων. Σημαίνει δὲ καὶ τὴν ἅλων, ἐν ᾗ ὁ σῖτος, ἔνιοι δὲ κῆπον ἀρεσῶν. Ἐριθηλέων.] Μεγάλως θαλλουσῶν, αὐξανομένων.

91. Ἐξαπίνης.] Ἐξαίφνης. Ἐπιβρίσῃ.] Ἐπιβαρήσει, ἢ σφοδρὸς ἐπελθοῦ-

Πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε κάλ' αἰζηῶν·
Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν μίμνον πολέες περ ἐόντες.
Τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
Θύνοντ' ἀμπεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγας,
Αἶψ' ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα,
Καὶ βάλ' ἐπαΐσσοντα, τυχὼν κατὰ δεξιὸν ὦμον
Θώρηκος γύαλον· διὰ δ' ἔπτατο πικρὸς ὀϊστὸς,
Ἀντικρὺ δὲ διέσχε· παλάσσετο δ' αἵματι θώρηξ·
Τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
Ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων.
Βέβληται γὰρ ἄριστος Ἀχαιῶν· οὐδέ ἑ φημὶ
Δήθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Ὦρσεν ἄναξ, Διὸς υἱὸς, ἀπορνύμενον Λυκίηθεν.
Ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν,

ἐπελεύσεται. Ὄμβρος.] Μέγας ὑετός. βροχή.

92. Ἔργα.] Νῦν τὰ γεώργια. Κατήρειπε.] Καταβέβληται. Αἰζηῶν.] Νέων.

94. Μίμνον.] Ἔμενον, ὑπέστησαν. ἐδέξαντο τὴν ἐπέλασιν. ἀντείχοντο πρὸς τὴν ἐπιφοράν.

96. Θύνοντα.] Ἐνθουσιωδῶς ὁρμῶντα. Πρὸ ἕθεν.] Πρὸ αὐτοῦ. Κλονέοντα.] Ταράσσοντα, πορθοῦντα τὰς πρὸ αὐτοῦ τάξεις.

97. Ἐτιταίνετο.] Ἔτεινεν, εἷλκε. Καμπύλα.] Ἐπικαμπῆ.

98. Ἐπαΐσσοντα.] Ἐφορμῶντα.

99. Θώρηκος γύαλον.] Κατὰ τὸ κοῖλον τοῦ θώρακος. Διὰ δ' ἔπτατο.] Διέπτη ὁ δέ. ὅ ἐστι, διῆλθε. Πικρὸς ὀϊστός.] Τὸ πικροποιὸν καὶ ἐπίπονον βέλος.

100. Ἀντικρὺ δὲ διέσχε.] Καὶ διαπρὸ, δι' ὅλου, καθόλου, διὰ παντὸς, κατὰ παντὸς, διαμπὰξ, διαμπερέως, διαμπερὲς διῆλθε. Παλάσσετο.] Ἐβρέχετο, ἐμολύνετο.

101. Μακρὸν ἄϋσε.] Μέγα ἀνέκραγεν.

102. Ὄρνυσθε.] Ὁρμᾶτε, διεγείρεσθε. Κέντορες ἵππων.] Ἱππικοὶ, ἵππους πλήσσοντες.

103. Βέβληται.] Τέτρωται παρὰ τὸ βέλος. Οὐδέ ἑ φημί.] Οὐδὲ ὑπολαμβάνω, αὐτόν.

104. Δῆθα.] Ἐπιπολύ. δαρόν. δηρόν. Ἀνσχήσεσθαι.] Ἀνασχήσεσθαι, ἀνθέξειν πρὸς τὴν βολήν. Εἰ ἐτεόν.] Εἰ ἀληθῶς. εἰ κατὰ καιρόν.

105. Ὦρσεν.] Ἐφώρμησε, διήγειρεν. Ἀπορνύμενον.] Ἀφορμῶντα. Λυκίηθεν.] Ἐκ τῆς Λυκίας χώρας. ἧς ἐβασίλευε Σαρπηδών. Ἔστι δὲ καὶ ἑτέρα τῆς Τρωάδος πόλις. ἧς ἐβασίλευε Πάνδαρος.

106. Εὐχόμενος.] Αὐχῶν.

107. Ἀνα-

Ἀλλ' ἀναχωρήσας, πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν
Ἔστη, καὶ Σθένελον προσέφη, Καπανήϊον υἱόν·
Ὄρσο, πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Ὄφρα μοι ἐξ ὤμοιο ἐρύσσῃς πικρὸν ὀϊστόν.
Ὣς ἄρ' ἔφη· Σθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε·
Πὰρ δὲ στὰς, βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου·
Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
Δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος ἀτρυτώνη·
Εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
Δηΐῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι, Ἀθήνη·
Δὸς δέ τε μ' ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
Ὅς μ' ἔβαλε φθάμενος, καὶ ἐπεύχεται, οὐδέ με φησὶ
Δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν·

107. Ἀναχωρήσας.] Εἰς τοὐπίσω ἀναπηδήσας. Πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν.] Ἔμπροσθεν τῶν ἵππων, καὶ τοῦ ἅρματος.

108. Καπανήϊον] Τὸν Καπανέως παῖδα, Σθένελον.

109. Ὄρσο.] Διεγείρου. Πέπον.] Προσηνέστατε, προσφιλέστατε, νῦν. Καταβήσεο.] Κατάβηθι. Καταβήσομαι, ἐνεστὼς ἐσχηματισμένος ἐκ τοῦ μέλλοντος.

110. Ἐρύσῃς.] Ἑλκύσῃς. Ἐξ ὤμοιο.] Ἐκ τοῦ ὤμου.

111. Καθ' ἵππων.] Ἀπὸ τοῦ ἅρματος. Ἆλτο χαμᾶζε.] Καθήλατο εἰς τὴν γῆν.

112, Πὰρ δὲ στάς.] Παραστὰς δὲ, ἐπικουρίαν ποιησόμενος. Διαμπερές.] Διαμπὰξ, διόλου.

113. Ἀνηκόντιζε.] Ἀθρόως ἀνεφέρετο. Στρεπτοῖο χιτῶνος.] Τοῦ ἁλυσειδωτοῦ σιδήρου κρικωτοῦ θώρακος.

114. Δή.] Ἀντὶ τοῦ, δηλαδή.

115. Κλῦθί μοι.] Ἄκουσον ἐμοῦ. Ἀτρυτώνη.] Ἀκαταπόνητε θεά.

116. Φίλα φρονέουσα.] Ἀγαθὰ, φρονοῦσα.

117. Δηΐῳ.] Καυστικῷ. χθαστικῷ. Φῖλαι.] Ἀντὶ τοῦ, φίλησον.

118. Ἑλεῖν.] Ἐν χερσὶν ἔχειν. Ἐπιφέρει γὰρ, Εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν.

119. Φθάμενος.] Φθάσας. προκαταλαβών. Καὶ ἐπεύχεται.] Καὶ μεγαλαυχεῖ.

120. Δηρόν.] Ἐπιπολύ. Φάος.] Φῶς. Ὁ τρόπος διαστολή.

122. Γυῖα.] Μέλη. Ἐλαφρά.] Κοῦφα, εὐκίνητα.

Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι·
Ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα.
Ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς.
Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν, ἕλον ἣ πρὶν ἐπῆεν,
Ὄφρ' εὖ γινώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.
Τῷ νῦν αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
Μήτι σύγ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
Τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἔλθῃσ' ἐς πόλεμον, τήνγ' οὐτάμεν ὀξέϊ χαλκῷ.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη.
Τυδείδης δ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη·
Καὶ, πρὶν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι,
Δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥστε λέοντα,
Ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀΐεσσι
Χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ,
Τοῦ μέν τε σθένος ὦρσεν· ἔπειτα δέ τ' οὐ προσαμύνει,
Ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἔρημα φοβεῖται,

125. Μένος.] Δύναμιν. Πατρώϊον.] Πατρικόν. Ἧκα.] Ἐνέθηκα, ἐνέβαλον.

126. Ἄτρομον.] Ἀδεές, ἄφοβον. Σακέσπαλος.] Πολεμικός. Ἀπὸ τοῦ πάλλειν τὸ σάκος, καὶ κινεῖν.

127. Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον.] Καὶ τὴν ἀορασίαν δή σου τῶν ὀφθαλμῶν ἀφειλόμην. Ἐπῆεν.] Ἐπῆν, ἐπέκειτο.

129. Πειρώμενος.] Ἀπόπειραν περί σου ποιούμενος.

132. Ἔλθῃσιν.] Ἔλθῃ. Τήνγ' οὐτάμεν.] Ταύτην τρῶσαι.

133. Ἀπέβη.] Ἀπῆλθεν, ἐχωρίσθη.

134. Ἐξαῦτις] Ἐκ δευτέρου. Ἰών.] Πορευθείς.

135. Καὶ πρὶν περ.] Καί περ τὸ πρότερον.

136. Τρὶς τόσον.] Τρὶς τοσοῦτον. Ἕλε.] Νῦν, ἔλαβεν.

137. Ὅν ῥα.] Ὅντινα δή. Ἀγρῷ.] Ἀγροικίᾳ. Εἰροπόκοις.] Ἔρια ἐχούσαις. Ὀΐεσι.] Προβάτοις.

138. Χραύσῃ.] Ἀμύξῃ ἐπ' ὀλίγον, τὸν χρῶτα ἐπιξύσῃ. Ὑπεραλμένον.] Ὑπεραλόμενον.

139. Οὐ προσαμύνει.] Οὐ προσβοηθεῖ, οὐ προσαπαθεῖ, οὐκ ἔτι ἀπείργει.

140. Σταθμούς] Τὰς ἐπαύλεις. Δύεται.] Κρύπτεται. Καταδύεται εἰς τὴν ἔπαυλιν ὁ λέων. Τὰ δ' ἔρημα φοβεῖται.] Τὰ δὲ βοσκήματα, πρόβατα, μῆλα, θρέμματα αἱ οἶες, ἠρημω-

Αἱ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
Αὐτὰρ ὁ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς·
Ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης.
Ἔνθ' ἕλεν Ἀστύνοον, καὶ Ὑπείνορα, ποιμένα λαῶν·
Τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρὶ,
Τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῗδα παρ' ὦμον
Πλῆξ'· ἀπὸ δ' αὐχένος ὦμον ἐέργαθεν, ἠδ' ἀπὸ νώτου.
Τοὺς μὲν ἔασ', ὁ δ' Ἄβαντα μετῴχετο, καὶ Πολύειδον,
Υἱέας Εὐρυδάμαντος ὀνειροπόλοιο γέροντος·
Τοῖς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ' ὀνείρους,
Ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε.
Βῆ δὲ μετὰ Ξάνθον τε, Θόωνά τε, Φαίνοπος υἷε,
Ἄμφω τηλυγέτω· ὁ δ' ἐτείρετο γήραϊ λυγρῷ,
Υἱὸν δ' οὐ τέκετ' ἄλλον, ἐπὶ κτεάτεσσι λιπέσθαι.
Ἔνθ' ὅγε τοὺς ἐνάριζε, φίλον δ' ἐξαίνυτο θυμὸν
Ἀμφοτέροιν· πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
Λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχης ἐκνοστήσαντε

ἠρημωμέναι τῆς τοῦ ποιμένος βοηθείας, πλήσσουσιν, ὀρρωδοῦσιν, ἐκφοβοῦνται, φεύγουσιν.

141. Ἀγχιστῖναι.] Ἐπάλληλοι, πυκναὶ, πλησίον, ἅμα ἀλλήλοις. Κέχυνται.] Κεῖνται ἀθρόαι, συγκέχυνται.

142. Βαθέης ἐξάλλεται αὐλῆς.] Πρόβατον ἁρπάξας. Ἀντὶ τοῦ εἰσάλλεται εἰς τὴν βαθεῖαν ἔπαυλιν ἔνδον, ἤτοι παράλλεται.

143. Μεμαώς.] Προθυμούμενος.

147. Ἐέργαθεν.] Ἐχώρισεν, ἀπέκοψε.

148. Μετῴχετο.] Μετήρχετο, ἐπορεύετο.

149. Ὀνειροπόλοιο.] Ὀνειροκρίτου, περὶ τὴν ὀνειράτων κρίσιν ἀναστρεφομένου.

150. Οὐκ ἐρχομένοις.] Οὐχ ὑποστρέψουσι. Τὸ δὲ ὅλον. οἷστισι μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους. Ὀνείρους.] Ἐνύπνια.

151. Σφέας.] Αὐτούς.

152. Μετὰ Ξάνθον.] Ἐπὶ τὸν Ξάνθον.

153. Ἄμφω.] Ἀμφότεροι. Τηλυγέτω.] Ἐν γήρᾳ γεννηθέντας. Ἐτείρετο.] Κατεπονεῖτο. Λυγρῷ.] Χαλεπῷ.

154. Ἐπὶ κτεάτεσσιν.] Ἐπὶ τοῖς κτήμασι. Λιπέσθαι.] Καταλιπεῖν. Ἐξαίνυτο.] Ἀφείλετο.

156. Πατέρι δέ.] Τῷ δὲ πατρί. Γόον.] Θρῆνον.

157. Λεῖπε.] Κατέλιπε. Ζώοντε.] Ζῶντας.

Δέξατο· χηρωσταὶ δὲ διὰ κλῆσιν δατέοντο.
Ἔνθ' υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο
Εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχήμονά τε, Χρόμιόν τε.
Ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξει
Πόρτιος, ἠὲ βοὸς, ξύλοχον καταβοσκομενάων·
Ὡς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
Βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχε' ἐσύλα·
Ἵππους δ' οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
Τὸν δ' ἴδεν Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,
Βῆ δ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
Πάνδαρον ἀντίθεον διζήμενος, εἴ που ἐφεύροι.
Εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε·
Στῆ δὲ πρόσθ' αὐτοῖο, ἔπος τέ μιν ἀντίον ηὔδα·
Πάνδαρε, ποῦ τοι τόξον, ἰδὲ πτερόεντες ὀϊστοὶ,
Καὶ κλέος; ᾧ οὔτις τοι ἐρίζεται ἐνθάδε γ' ἀνὴρ,
Οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων·
Ἀλλ' ἄγε, τῷδ' ἔφες ἀνδρὶ βέλος, Διῒ χεῖρας ἀνασχὼν,

158. Χηρωσταί.] Οἱ κατὰ κλῆρον διαιτηταὶ, ταῖς εὐθύναις ἐνεχόμενοι. Οὗτοι ἦσαν κληρονόμοι χήρου καὶ ἄπαιδος οὐχ ἁπλῶς, ἀλλὰ τῶν πάντων μὴ κληρονόμον ἐχόντων. Οἱ κατ' οὐδένα τρόπον προσήκοντες τῷ γένει. Διὰ κλῆσιν δατέοντο.] Διεμερίζοντο, τὴν οὐσίαν. Τμῆσις.] Ἐπορεύοντο εἰς τὰ κτήματα.

160. Ἐόντας.] Ὄντας.

161. Θορών.] Ἐφορμήσας. Ἐξάξει.] Κατάξει. συντρίψει.

162. Πόρτιος.] Δαμάλεως, μόσχου. Ξύλοχον κάτα.] Κατά τινα ὑλώδη καὶ συνδενδρον τόπον. Βοσκομενάων.] Βοσκομένων. Ὁ τρόπος ἐπέκτασις Αἰολική.

164. Βῆσε.] Κατεβίβασεν. Ἐσύλα.] Ἐσκύλευε.

165. Μετὰ νῆας.] Ἐπὶ τὰς ναῦς.

166. Ἀλαπάζοντα.] Κενοῦντα, πορθοῦντα, φθείροντα.

167. Ἄν τε μάχην.] Κατὰ τὴν μάχην. Ἄν, ἀντὶ τοῦ ἀνά. Ἀνὰ κλόνον.] Κατὰ τὸν θόρυβον, καὶ κατὰ τὴν ταραχήν. Ἐγχειάων.] Δοράτων.

170. Πρόσθ' αὐτοῖο.] Ἔμπροσθεν αὐτοῦ. Ἀντίον.] Ἐξ ἐναντίας.

171. Ποῦ τοι τόξον.] Ποῦ σοι ἡ διὰ τῶν τόξων τέχνη. Ἰδὲ πτερόεντες ὀϊστοί.] Καὶ τὰ ταχέα ἤτοι ἐπτερωμένα βέλη.

172. Ἐρίζεται.] Ἐρίζει, ἁμιλλᾶται.

173. Σέο.] Σοῦ. Εὔχεται.] Καυχᾶται.

174.] Ἔφες.] Ἐπίπεμψον. Διῒ χεῖρας ἀνασχών.] Εὐξάμενος τῷ Διΐ.

Ὅστις ὅδε κρατέει, καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας· ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν.
Εἰ μή τις θεός ἐστι, κοτεσσάμενος Τρώεσσιν,
Ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις.
Τὸν δ' αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Τυδεΐδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω,
Ἀσπίδι γιγνώσκων, αὐλώπιδί τε τρυφαλείῃ,
Ἵππους τ' εἰσορόων· σάφα δ' οὐκ οἶδ' εἰ θεός ἐστιν.
Εἰ δ' ὅγ' ἀνήρ, ὅν φημι, δαΐφρων Τυδέος υἱός,
Οὐχ' ὅγ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
Ἕστηκ' ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
Ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ·
Ἤδη γάρ οἱ ἐφῆκα βέλος, καί μιν βάλον ὦμον
Δεξιόν, ἀντικρὺ διὰ θώρηκος γυάλοιο·
Καί μιν ἔγωγ' ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν,
Ἔμπης δ' οὐκ ἐδάμασσα· θεός νύ τις ἐστὶ κοτήεις.

175. Ὅστις ὅδε.] Ὅστις ποτέ ἐστιν οὗτος. Κρατέει.] Κρατεῖ. ἄρχει.

176. Γούνατ' ἔλυσε.] Περιφραστικῶς, ἀνεῖλε.

177. Κοτεσσάμενος.] Ὀργισθείς.

178. Ἱρῶν.] Ἱερείων, θυσιῶν. Μηνίσας.] Ὀργισθείς. Ἔπι.] Ἔπεστιν, ἐπιμένει.

181. Πάντα.] Κατὰ πάντα. Ἐΐσκω] Εἰκάζω, ὁμοιῶ.

182. Ἀσπίδι γιγνώσκων.] Ἀπὸ τῆς ἀσπίδος γνωρίζων. Αὐλώπιδι.] Αὐλίσκον ἐχούσῃ, καθ' οὗ πήγνυται ὁ λόφος. Τρυφαλείῃ.] Φάλους ἐχούσῃ τρεῖς. Φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι, ἢ ἀστερίσκοι.

183. Σάφα.] Σαφῶς, ἀληθῶς, ἀσφαλῶς.

184. Εἰ δ' ὅγ' ἀνήρ.] Εἰ δὲ οὗτός ἐστιν ὁ ἀνήρ. Ὃν φημι.] Ὃν ἐγὼ ἀπεικάζω.

185. Οὐχ ὅγε.] Οὐχ οὗτος. Τάδε.] Ταῦτα. Ἄγχι.] Ἐγγύς.

186. Εἰλυμένος.] Κεκαλυμμένος, περιβεβλημένος.

187. Κιχήμενον.] Καταλαμβάνον, ἢ ὡρμημένον. Ἔτραπεν.] Ἔτρεψεν. Ἄλλῃ.] Ἀλλαχόσε.

188. Ἐφῆκα.] Ἐπέπεμψα.

189. Διὰ θώρηκος γυάλοιο.] Διὰ τοῦ κοίλου θώρακος, διὰ τοῦ κύτους, διὰ τοῦ μέσου τοῦ θώρακος.

190. Ἐφάμην.] Ἐλογισάμην. Ἀϊδωνῆϊ.] Τῷ Ἅιδῃ.

191. Θεός νύ τις.] Θεὸς δή τις. Κοτήεις.] Ὀργιζόμενος.

Ἵπποι δ' οὐ παρέασι, καὶ ἅρματα, τῶν κ' ἐπιβαίην·
Ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
Καλοὶ, πρωτοπαγεῖς, νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
Πέπτανται· παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
Ἑστᾶσιν, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.
Ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
Ἐρχομένῳ ἐπέτελλε δόμοις ἐνὶ ποιητοῖσιν·
Ἵπποισίν μ' ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
Ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας·
Ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦτ' ἂν πολὺ κέρδιον ἦεν,
Ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς,
Ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδδην.
Ὣς λίπον· αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
Τόξοισιν πίσυνος· τὰ δέ μ' οὐκ ἄρ' ἔμελλον ὀνήσειν.
Ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα,

192. Οὐ παρέασιν.] Οὐ πάρεισιν. Τῶν κ' ἐπιβαίην·] Ὧν ἂν ἐπιβῶ.

193. Ἐν μεγάροισιν.] Ἐν τοῖς οἴκοις.

194. Πρωτοπαγεῖς] Πρώτως πεπηγότες, πρὸ πάντων κατασκευασμένοι. Νεοτευχέες.] Νεοκατασκεύαστοι. Ἀμφὶ δὲ πέπλοι.] Περὶ αὐτοὺς δὲ πέπλοι. Πέπλοι δὲ, λεπτὰ ὑφάσματα, ἢ σινδόνες.

195. Πέπτανται.] Περιβέβληνται, ἥπλωνται. Παρὰ δέ σφιν ἑκάστῳ.] Περὶ ἑνὶ δὲ ἑκάστῳ αὐτῶν. Δίζυγες.] Διπλοὶ, ἀνὰ δύο ἐζευγμένοι.

196. Κρῖ.] Κριθάς· ἢ κρίμνον. Ἀποκοπὴ, τὸ πάθος. Ἐρεπτόμενοι.] Ἐσθίοντες.] Ὀλύρας. Εἶδος κριθώδους καρποῦ.

198.] Ἐπέτελλε.] Προσέταττε. Ποιητοῖσιν.] Καλῶς κατεσκευασμένοις.

199. Ἐμβεβαῶτα.] Ἐμβεβηκότα.

200. Ἀρχεύειν Τρώεσσιν.] Ἡγεῖσθαι τῶν Τρώων.

201. Οὐ πιθόμην.] Οὐκ ἐπείσθην. Ἦτε.] Ἤ. ἢ μήν. ἤτοι. Πολὺ κέρδιον ἦεν.] Καταπολὺ κρεῖττον ἂν ἦν.

202. Δευοίατο.] Ἐνδεεῖς γένοιντο. Φορβῆς.] Τροφῆς.

203. Εἰωθότες.] Εἰθισμένοι. Ἔδμεναι.] Ἐσθίειν. Ἄδδην.] Ἄδην, δαψιλῶς.

204. Ὣς λίπον.] Οὕτως κατέλιπον. ἢ, διὰ τοῦτο. Πεζός.] Ὁ ἐκ ποδῶν μαχόμενος.

205. Πίσυνος.] Πεπιστευκὼς, τεθαῤῥηκώς. Τὰ δέ με.] Ταῦτα δέ με. Οὐκ ἄρα.] Οὐ δή. Ὀνήσειν.] Ὠφελήσειν.

206. Δοιοῖσι.] Δύο. Ἀριστήεσι.] Προμάχοις.

Τυδείδῃ τε, καὶ Ἀτρείδῃ· ἐκ δ' ἀμφοτέροιϊν
Ἀτρεκὲς αἷμ' ἔσσευα βαλών· ἤγειρα δὲ μᾶλλον.
Τῷ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα
Ἤματι τῷ ἑλόμην, ὅτε Ἴλιον εἰς ἐρατεινὴν
Ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
Εἰ δέ κε νοστήσω, καὶ ἐσόψομαι ὀφθαλμοῖσι
Πατρίδ' ἐμὴν, ἄλοχόν τε, καὶ ὑψερεφὲς μέγα δῶμα,
Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
Εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,
Χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ.
Τὸν δ' αὖτ' Αἰνείας, Τρώων ἀγὸς, ἀντίον ηὔδα·
Μὴ δ' οὕτως ἀγόρευε· πάρος δ' οὐκ ἔσσεται ἄλλως,
Πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρὶ, σὺν ἵπποισιν καὶ ὄχεσφιν,
Ἀντιβίην ἐλθόντε, σὺν ἔντεσι, πειρηθῆναι.
Ἀλλ' ἄγ', ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
Οἷοι Τρώϊοι ἵπποι, ἐπιστάμενοι πεδίοιο,

207. Ἀμφοτέροιϊν.] Ἀμφοτέρων.

208. Ἔσσευα.] Ῥυῆναι ἐποίησα. Ἤγειρα.] Παρώρμησα, προέτρεψα.

209. Κακῇ αἴσῃ.] Κακῇ μοίρᾳ. Πασσάλου.] Πάσσαλος. ξύλον ἐπίμηκες, ἐμπηγνύμενον πρὸς τὸ κρεμᾶσαι ὅπερ δεῖ. Ἀγκύλα.] Ἐπικαμπῆ.

210. Ἑλόμην.] Ἀνελαβόμην. Ἐρατεινήν.] Ἐπέραστον, καλήν.

211. Ἡγεόμην Τρώεσσιν.] Ἡγούμην Τρώων. Χάριν.] Χάριτα, βοήθειαν.

212. Ἐσόψομαι.] Ἐσείδω, θεάσομαι.

213. Ὑψερεφές.] Ὑψηρεφές. ὑψηλόν. μέγα.

214. Ἀλλότριος φώς.] Πολέμιος ἀνήρ.

215. Φαεινῷ.] Λαμπρῷ. Ἐν πυρὶ θείην.] Ἐν πυρὶ βαλῶ. Εὐκτικὸν ἀντὶ ὑποτακτικοῦ.

216. Ἀνεμώλια.] Μάταια. Ὀπηδεῖ.] Ἕπεται, ἀκολουθεῖ.

218. Μηδ' οὕτως ἀγόρευε.] Μηδὲ οὕτως λέγε. Πάρος δ' οὐκ ἔσσεται ἄλλως.] Πρὸς τὸ παρὸν οὐ πράξομεν ἄλλως.

219. Πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί.] Πρὶν ἡμᾶς κατὰ τοῦδε τοῦ ἀνδρός.

220. Ἐλθόντε.] Ἀπαντήσαντες, συνελθόντες. Σὺν ἔντεσι.] Σὺν τοῖς ὅπλοις. Πειρηθῆναι.] Ἀπόπειραν λαβεῖν.

221. Ὀχέων.] Ἁρμάτων. Ἐπιβήσεο.] Ἐπίβηθι. Ὄφρα ἴδηαι.] Ὅπως μάθῃς.

222. Τρώϊοι.] Ἀπόγονοι τῶν Τρωὸς ἵππων. ἢ, οἱ τῷ Τρωῒ κεχαρισμένοι, ἀντὶ τῆς ἁρπαγῆς Γανυμήδους.

Κραιπνὰ μάλ' ἔνθα ϗ ἔνθα διωκέμεν, ἠδὲ φέβεσθαι·
Τὼ ϗ νῶϊ πόλινδε σαώσετον, εἴπερ ἂν αὖτε
Ζεὺς ἐπὶ Τυδείδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
Ἀλλ' ἄγε, νῦν μάστιγα ϗ ἡνία σιγαλόεντα
Δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι·
Ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ' ἐμοὶ ἵπποι.
Τὸν δ' αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ' ἡνία ϗ τεὼ ἵππω·
Μᾶλλον ὑφ' ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
Οἴσετον, εἴπερ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν.
Μὴ τὼ μὲν δείσαντε ματήσετον, οὐδ' ἐθέλητον
Ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε·
Νῶϊ δ' ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς,
Αὐτώ τε κτείνῃ, ϗ ἐλάσσῃ μώνυχας ἵππους.
Ἀλλὰ σύ γ' αὐτὸς ἔλαυνε τε' ἅρματα ϗ τεὼ ἵππω,
Τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.
Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
Ἐμμεμαῶτ' ἐπὶ Τυδείδῃ ἔχον ὠκέας ἵππους·

223. Κραιπνά.] Κραιπνῶς, ταχέως.] Ἔνθα ϗ ἔνθα.] κἀκεῖσε. Διωκέμεν ἠδὲ φέβεσθαι.] Διώκειν ϗ φεύγειν.

224. Εἴ περ ἂν αὖτε.] Εἴπερ δὴ πάλιν.

226. Σιγαλόεντα.] Λαμπρὰ ϗ ποικίλα τῇ κατασκευῇ, οἱονεὶ σιγάζοντα ὄντα.

228. Δέδεξο.] Προσδέχου, ἐπιτήρησον. Μελήσουσι.] Δι' ἐπιμελείας ἔσονται.

230. Τεὼ ἵππω.] Τοὺς σοὺς ἵππους.

231. Ἡνιόχῳ εἰωθότι.] Τῷ συνήθει. τῷ ἐθίσαντι αὐτοὺς ἡνιοχεῖν.

232. Οἴσετον.] Οἴσουσι, κομίσουσι. Φεβώμεθα.] Φεύγωμεν.

233. Μὴ τὼ μὲν.] Μὴ ἔτοι μέν. Δείσαντε.] Φοβηθέντες. Ματήσετον.] Ματαιοπραγήσωσι. ματαίαν ἔχωσι τὴν προθυμίαν. Οὐδ' ἐθέλητον.] Οὐδὲ βουληθῶσιν.

234. Ἐκφερέμεν.] Ἐκφέρειν. Τεὸν φθόγγον ποθέοντες.] Τὴν σὴν φωνὴν ποθοῦντες.

235. Νῶϊ δ' ἐπαΐξας.] Ἡμᾶς δὲ ἐφορμήσας.

236. Αὐτώ τε.] Ἀντὶ τοῦ, ἡμᾶς αὐτούς. δυϊκῶς. Ἐλάσσῃ.] Ἀπελάσῃ. Μώνυχας.] Μονώνυχας.

237. Τεὰ ἅρματα.] Τὰ σὰ ἅρματα.

238. Ἐπιόντα.] Ἐπερχόμενον. Δεδέξομαι.] Ὑποδέξομαι, ἐπιτηρήσω.

240. Ἔχον ἐπὶ Τυδείδῃ.] Εἶχον, ἐπει-

Τοὺς δὲ ἴδε Σθένελος, Καπανήϊος ἀγλαὸς υἱός·
Αἶψα δὲ Τυδείδην ἔπεα πτερόεντα προσηύδα·
Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
Ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι·
Ἶν' ἀπέλεθρον ἔχοντας· ὁ μὲν, τόξων εὖ εἰδὼς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ' υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχεται ἐκγεγάμεν, μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη.
Ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων· μηδέ μοι οὕτω
Θῦνε διὰ προμάχων, μήπως φίλον ἦτορ ὀλέσσῃς.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
Μήτι φόβονδ' ἀγόρευ', ἐπεὶ οὐδέ σε πεισέμεν οἴω·
Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,
Οὐδὲ καταπτώσσειν· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·
Ὀκνείω δ' ἵππων ἐπιβαινέμεν· ἀλλὰ καὶ αὔτως
Ἀντίον εἶμ' αὐτῶν· τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.

ἐπεῖχον, ἤλαυνον, κατὰ Τυδείδου, εἰς Τυδείδην.

243. Ἐμῷ κεχαρισμένε θυμῷ.] Τῇ ἐμῇ ψυχῇ προσφιλέστατε.

244. Ὁρόω.] Ὁρῶ. Ἐπὶ σοὶ μεμαῶτε.] Κατὰ σοῦ προθυμουμένους.

245. Ἶν' ἀπέλεθρον.] Δύναμιν ἀμέτρητον. Πέλεθρον, τὸ καὶ πλέθρον, μέτρον γῆς, ἔχον πήχεις ξς΄. δίμοιρον. Ἶνα δὲ εἴρεται ἀπὸ τοῦ ὀρθῆς ἰς, καὶ ἶν. Τόξων εὖ εἰδώς.] Τῆς τοξικῆς ἐπιστήμων.

247. Μεγαλήτορος.] Μεγαλοψύχου.

248. Ἐκγεγάμεν.] Ἐκγεγενῆσθαι.

249 Χαζώμεθ' ἐφ' ἵππων.] Ἀναχωρῶμεν ὄντες ἐπὶ τῶν ἵππων.

250. Φίλον ἦτορ.] Τὴν προσφιλεστάτην ψυχήν. Ὀλέσσῃς.] Ἀπολέσῃς.

252. Μήτι φόβονδ' ἀγόρευε.] Μηδαμῶς περὶ φυγῆς λέγε. Μὴ κέλευε τὰ πρὸς τὴν φυγήν. Πεισέμεν.] Πείσειν. Οἴω.] Οἶμαι, ὑπολαμβάνω.

253. Γενναῖον.] Ἤτοι σύμφορον, ἢ ἐκ γένους παρεπόμενον. Ἀλυσκάζοντι.] Ἐκκλίνοντι, φεύγοντι.

254. Καταπτώσσειν.] Δειλιᾶν. Ἔμπεδον.] Ἑδραῖον, βέβαιον.

255. Ὀκνείω.] Ὀκνῶ. Ἐπιβαινέμεν.] Ἐπιβαίνειν. Ἀλλὰ καὶ αὔτως.] Ἀλλὰ καὶ οὕτως.

256. Ἀντίον εἶμ' αὐτῶν.] Ἐξ ἐναντίας αὐτῶν ἄπειμι. Τρεῖν.] Εὐλαβεῖσθαι, φοβεῖσθαι. Οὐκ ἐᾷ.] Οὐκ ἀφίησιν, οὐ συγχωρεῖ. κατὰ ἀποκοπὴν, ἀπὸ τοῦ, ἐάω. Ἤγουν, ἐᾷ, μονοσυλλάβως.

Τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
Ἄμφω ἀφ' ἡμείων, εἴ γοῦν ἕτερός γε φύγῃσιν.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
Ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
Αὐτοῦ ἐρυκακέειν, ἐξ ἄντυγος ἡνία τείνας·
Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων,
Ἐκ δ' ἐλάσαι Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς·
Τῆς γάρ τοι γενεῆς, ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς
Δῶχ', υἷος ποινὴν Γανυμήδεος· οὕνεκ' ἄριστοι
Ἵππων, ὅσσοι ἔασιν ὑπ' ἠῶ τ', ἠέλιόν τε·
Τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης,
Λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους·
Τῶν οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλης·
Τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ,
Τὼ δὲ δύ' Αἰνείᾳ δῶκεν, μήστωρε φόβοιο·

257. Τούτω δέ.] Τούτους δέ. δυϊκῶς. Πάλιν.] Εἰς τοὐπίσω. Ἀποίσετον.] Ἀποίσουσιν, ἀποκομίσουσιν.

258. Ἄμφω.] Ἀμφοτέρους. Ἀφ' ἡμείων.] Ἀφ' ἡμῶν. Εἰ γοῦν ἕτερός γε φύγῃσιν.] Εἰ μήτι γ' ἂν τῶν δύο ὁ ἕτερος διαφύγῃ.

260. Πολύβουλος.] Πολυγνώμων, συνετή.

262. Ἐρυκακέειν.] Ἐρυκακεῖν. ἐρύκειν. κατέχειν. Ἐξ ἄντυγος ἡνία τείνας.] Ἐξάρας τὰς ἡνίας τῆς τοῦ ἅρματος περιφερείας. Λέγει δέ, τοῦ κύκλου, τοῦ περιπεπηγότος ἐν τῷ ἅρματι πρὸς τὸ ἀνατείνειν τῷ ἐπιβάτῃ.

263. Αἰνείαο.] Αἰνείου. Ἐπαΐξαι.] Ἐφορμῆσαι ἐπί.

264. Ἐκ δ' ἐλάσαι.] Ἐξελάσαι δέ. Τρώων.] Τρώων ἵππους. Μετά.] Ἀντὶ τοῦ, πρός.

265. Εὐρύοπα.] Μεγαλόφωνος.

266. Ποινήν.] Ἀντέκτισιν. δωρεάν.

267. Ὑπ' ἠῶ τ' ἠέλιόν τε.] Περιφραστικῶς, ὑπὸ τὸ φῶς τοῦ κόσμου τούτου.

268. Γενεῆς.] Γενεᾶς, γένους. Ἔκλεψεν.] Ἐνοσφίσατο.

269. Ὑποσχών.] Ὑποβαλών. Θήλεας.] Θηλείας. Θήλεας ἵππους, ἀρσενικῶς ἀντὶ τοῦ θήλεος.

270. Γενέθλης.] Γένους.

271. Ἀτίταλλε.] Ἀταλῶς, τρυφερῶς, ἔτρεφε.

272 Μήστωρε φόβοιο.] Ἐπιστήμονας καὶ ἐμπείρους. ὅ ἐστι, πολεμικοὺς, γενναίους. ἢ, φυγὴν ἐμποιήσαντας τοῖς πολεμίοις.

Εἰ τούτω κε λάβοιμεν, ἀροίμεθα κὰν κλέος ἐσθλόν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Τὼ δὲ τάχ' ἐγγύθεν ἦλθον, ἐλαύνοντ' ὠκέας ἵππους.
Τὸν πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ Τυδέος υἱὲ,
Ἦ μάλα σ' οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός·
Νῦν αὖτ' ἐγχείῃ πειρήσομαι αἴ κε τύχοιμι.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλε Τυδείδαο κατ' ἀσπίδα· τῆς δὲ διὰ πρὸ
Αἰχμὴ χαλκείη πταμένη θώρηκι πελάσθη.
Τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός·
Βέβληαι κενεῶνα διαμπερὲς, οὐδέ σ' ὀΐω.
Δηρὸν ἔτ' ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκας.
Τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης·
Ἤμβροτες, οὐδ' ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶΐ γ' ὀΐω
Πρίν γ' ἀποπαύσεσθαι, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν·

273. Ἀροίμεθα κὰν.] Κτησαίμεθα ἄν.

275. Τάχα.] Ταχέως.

277. Καρτερόθυμε.] Δυναμικώτατε, ἀνδρειότατε. Δαΐφρον.] Πολεμικώτατε. Ἀγαυοῦ.] Ἀγαθοῦ, λαμπροῦ, ἐπιφανοῦς.

278. Δαμάσσατο.] Ἐδάμασεν. ἀνεῖλε. Πικρός.] Πικροποιὸς, ἐπίπονος.

279. Αἴκε τύχοιμι.] Ἐὰν ἐπιτύχοιμι.

280. Ἦ ῥα.] Οὕτως εἶπεν. Ἀμπεπαλών.] Ἀνατείνας, ἀνασείσας. Προΐει.] Προέπεμψε. Δολιχόσκιον.] Μακρόν.

281. Βάλε κατ' ἀσπίδα.] Ἀσπίδα κατέβαλε.

282. Πταμένη.] Πτᾶσα. Πελάσθη.] Προσεπελάσθη, προσήγγισε.

283. Μακρόν.] Ἐξάκουστον. μέγα. Ἐπαΰσεν.] Ἐπεβόησε.

284. Βέβληαι.] Τέτρωσαι. Κενεῶνα.] Τὸν ὑπὸ τῆς πλευρᾶς τόπον. τὸν λαγόνα. Παρὰ τὸ κενὸν αὐτὸν εἶναι ὀστέων. Διαμπερὲς.] Διαμπὰξ, διόλου.

285. Ἀνσχήσεσθαι.] Ἀνασχέσθαι, ὑπομεῖναι. Μέγ' εὖχος.] Μεγάλην δόξαν, καὶ καύχημα.

286. Οὐ ταρβήσας.] Οὐ καταπλαγεὶς, οὐ φοβηθείς.

287. Ἤμβροτες.] Ἥμαρτες, ἀπέτυχες. Τὸ αὐτὸ σημαίνει καὶ τὸ, οὐκ ἔτυχες. Ἀτὰρ οὐ μὲν σφῶΐ γ' ὀΐω.] Οὐ μὴν ὑμᾶς ὑπονοῶ.

288. Πρίν γ' ἀποπαύσεσθαι.] Πρότερον παύσεσθαι.

289. Ἆσαι.] Κορέσαι, πληρῶσαι.

Ὣς φάμενος προέηκε, βέλος δ' ἴθυνεν Ἀθήνη
Ῥῖνα παρ' ὀφθαλμόν, λευκοὺς δ' ἐπέρησεν ὀδόντας.
Τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής,
Αἰχμὴ δ' ἐξεχύθη παρὰ νείατον ἀνθερεῶνα.
Ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ
Αἰόλα, παμφανόωντα· παρέτρεσσαν δέ οἱ ἵπποι
Ὠκύποδες· τοῦ δ' αὖθι λύθη ψυχή τε, μένος τε.
Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ,
Δείσας, μήπως οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε, λέων ὥς, ἀλκὶ πεποιθώς·
Πρόσθε δέ οἱ δόρυ τ' ἔσχε, καὶ ἀσπίδα πάντοσε ἴσην,
Τὸν κτάμεναι μεμαώς, ὅστις τοῦ γ' ἀντίος ἔλθοι·
Σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Τυδείδης, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
Οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
Τῷ βάλεν Αἰνείαο κατ' ἰσχίον, ἔνθά τε μηρὸς

ρῶσαι. Ταλάεργον.] Ὑπομονητικόν.

290. Ὣς φάμενος.] Οὕτως εἰπών. Ἴθυνεν.] Ἔτρεψε. κατεύθυνεν, ἐνεχθῆναι ἐποίησε.

291. Ῥῖνα παρ' ὀφθαλμόν.] Κατὰ τοῦ μυκτῆρος παρὰ τὸν ὀφθαλμόν. Ἐπέρησε.] Διεπέρασε, διῆλθε.

292. Πρυμνήν.] Ἐσχάτην.

293. Ἐξεχύθη.] Ἐξώρμησε, διῆλθε. Νείατον.] Ἔσχατον, κατώτατον.

294. Ἤριπεν.] Ἔπεσεν. Ἀράβησεν.] Ἤχησεν.

295. Αἰόλα.] Ποικίλα. Παμφανόωντα.] Πάνυ λάμποντα. Παρέτρεσσαν.] Διὰ δέος ἔφυγον.

296. Ὠκύποδες.] Ποσὶ ταχεῖς. Λύθη.] Ἐλύθη. Ψυχή τε μένος τε.] Περιφραστικῶς, ἀπέθανεν.

297. Ἀπόρουσε.] Ἀφώρμησεν.

298. Ἐρυσαίατο.] Ἑλκύσειαν.

299. Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε.] Περιέβαινε δὲ αὐτῷ, καὶ ὑπερεμάχει αὐτοῦ. Ἀλκὶ πεποιθώς.] Τῇ δυνάμει τεθαῤῥηκώς.

301. Ὅστις τοῦγε.] Ὅστις τούτου.

302. Σμερδαλέα.] Καταπληκτικῶς, φοβερῶς. Ἰάχων.] Ἐκβοῶν, κράζων. Χερμάδιον.] Χειροπληθῆ λίθον.

303. Μέγα ἔργον.] Μέγα βάρος. Φέροιεν.] Κομίζοιεν.

304. Οἷοι.] Ὁποῖοι. Ῥέα.] Ῥᾳδίως, εὐκόλως. Πάλλεν.] Ἐκίνει, ἔπαλλεν. Οἶος.] Μόνος.

305. Ἰσχίον.] Τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται, καὶ κοτύλη, παρὰ τὴν κοιλότητα. Ἐνστρέφεται.] Ἔνδον στρέφεται. Κοτύλη δὲ, αἱ ἐν τοῖς

Ἰσχίῳ ἐνστρέφεται· κοτύλην δέ τέ μιν καλέουσι·
Θλάσσε δὲ οἱ κοτύλην, πρὸς δ᾽ ἄμφω ῥῆξε τένοντε·
Ὦσε δ᾽ ἀπὸ ῥινὸν τρηχὺς λίθος· αὐτὰρ ὅγ᾽ ἥρως
Ἔστη γνὺξ ἐριπὼν, καὶ ἐρείσατο χειρὶ παχείῃ
Γαίης· ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε·
Καί νύ κεν ἔνθ᾽ ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
Εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη,
Μήτηρ, ἥ μιν ὑπ᾽ Ἀγχίσῃ τέκε βουκολέοντι·
Ἀμφὶ δ᾽ ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ·
Πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ᾽ ἐκάλυψεν,
Ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
Χαλκὸν ἐνὶ στήθεσσι βαλὼν, ἀπὸ θυμὸν ἕλοιτο.
Ἡ μὲν ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο·
Οὐδ᾽ υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων

τοῖς ἰσχίοις κοιλότητες, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται.

307. Θλάσσε.] Περιέθραυσε. Πρὸς δ᾽ ἄμφω ῥῆξε τένοντε.] Πρὸς δὲ καὶ ἀμφότερα ἀπέῤῥηξε τὰ κατατεινόμενα νεῦρα.

308. Ὦσεν.] Ἀπώσατο, ἀπέσυρε. Ῥινόν.] Τὸ δέρμα. Τρηχύς.] Τραχύς.

309. Γνύξ.] Ἐπὶ γόνυ. Ἐριπών.] Πεσών. Ἐρείσατο.] Ἐπερείσθη. Παχείῃ.] Ἰσχυρᾷ.

310. Κελαινή.] Σκοτεινὴ, φοβερά.

311. Καί νύ κεν.] Καὶ δὴ ἄν. Ἔνθ᾽ ἀπόλοιτο.] Τότε ἀπώλετο, ἠφάνιστο.

312. Εἰ μὴ ἄρ.] Εἰ μὴ δή. Ὀξὺ νόησεν.] Ὀξέως καὶ ταχέως ἐθεάσατο.

313. Ἥ μιν.] Ἥτις αὐτόν. Ὑπ᾽ Ἀγχίσῃ.] Συγγινομένη τῷ Ἀγχίσῃ. Βουκολέοντι.] Βοῦς νέμοντι.

314. Ἀμφὶ δ᾽ ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ.] Περιέθηκε δὲ τῷ ἑαυτῆς παιδὶ τοὺς λευκοὺς πήχεις. τουτέστι, περιεπλέξατο καὶ ἐνηγκαλίσατο αὐτόν. περιέλαβεν ἴδιον υἱὸν προσφιλῆ ἀγκάλαις, ὠλέναις, βραχίοσι, καὶ ἀπὸ μέρους, χερσί. Ἑόν.] Ἴδιον. Ἐχεύατο.] Περιεπλέξατο. περιέλαβε.

315. Πρόσθε δέ οἱ.] Ἔμπροσθεν δὲ αὐτοῦ. Οὐχ ὡς ἄτρωτον δὲ περιβάλλει αὐτῷ τὸν πέπλον, ἀλλ᾽ ἵνα κρύψῃ αὐτόν. Φαεινοῦ.] Λαμπροῦ. Πτύγμ᾽ ἐκάλυψεν.] Ἀντὶ τοῦ, διπλῷ τῷ πέπλῳ.

316. Ἕρκος.] Περίφραγμα, τειχίον. Ἔμεν.] Ὑπάρχειν, εἶναι. Ταχυπώλων.] Ἱππικῶν, πολεμικῶν.

317. Ἀπὸ θυμὸν ἕλοιτο.] Ἀφέλοιτο τὴν ψυχήν.

318. Ὑπεξέφερεν.] Ἠρέμα ὑπεξέφερεν.

319. Ἐλήθετο.] Ἐπελάθετο. Συνθεσιάων.] Συνθηκῶν, ἐντολῶν.

Τάων, ἃς ἐπέτελλε βοὴν ἀγαθὸς Διομήδης.
Ἀλλ' ὅγε τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
Νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας·
Αἰνείαο δ', ἐπαΐξας, καλλίτριχας ἵππους
Ἐξέλασε Τρώων, μετ' ἐϋκνήμιδας Ἀχαιούς·
Δῶκε δὲ Δηϊπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
Τῖεν ὁμηλικίης, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη,
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν· αὐτὰρ ὅγ' ἥρως
Ὧν ἵππων ἐπιβὰς ἔλαβ' ἡνία σιγαλόεντα·
Αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵππους,
Ἐμμεμαώς· ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ χαλκῷ,
Γιγνώσκων ὅτ' ἄναλκις ἔην θεὸς, οὐδὲ θεάων
Τάων, αἵτ' ἀνδρῶν πόλεμον κάτα κοιρανέουσιν,
Οὔτ' ἄρ' Ἀθηναίη, οὔτε πτολίπορθος Ἐνυώ·
Ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
Ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς,
Ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέϊ χαλκῷ

320. Τάων.] Τούτων. Ἐπέτελλε.] Προσέταττεν.

321. Ἠρύκακε.] Κατέσχε.

322. Νόσφι.] Χωρὶς, πόῤῥω. Φλοίσβου.] Ταραχῆς, θορύβου.

323. Ἐπαΐξας.] Ἐφορμήσας.

324. Ἐξέλασεν.] Ἐξήγαγεν, ἤλασεν.

325. Ὃν πέρι πάσης τῖεν ὁμηλικίης.] Ὃν ὑπὲρ πάντας ἐτίμα τοὺς ὁμήλικας.

326. Ὅτι οἱ.] Ὅτι αὐτῷ. Ἄρτια.] Ὑγιῆ, ἡρμοσμένα.

327. Ὅγ' ἥρως.] Σθένελος, ὁ Καπανέως υἱός.

328. Ὧν ἵππων.] Τοῦ ἰδίου ἅρματος.

329. Ἵππους μέθεπε Τυδείδην.] Κατόπιν Διομήδους, μετὰ τὸν Διομήδη, ἕπεσθαι ἤγουν ἀκολουθεῖν ἐποίησε τοὺς ἵππους. Κρατερώνυχας.] Ἰσχυροὺς ὄνυχας ἔχοντας.

330. Ἐμμεμαώς.] Προθυμούμενος. Ὁ δε.] Διομήδης. Κύπριν ἐπῴχετο.] Ἐπὶ Ἀφροδίτην ὥρμα. Νηλεΐ.] Ἀνηλεεῖ, σκληρῷ.

331. Γιγνώσκων.] Ἐπιστάμενος. Ἄναλκις.] Ἀσθενής. Θεάων.] Τῶν θεῶν. θηλυκῶς. Ἡ διάλεκτος Βοιωτῶν, ἢ τῶν Αἰολέων.

332. Τάων.] Τούτων. Αἵ.] Αἵτινες. Κοιρανέουσι.] Διατάσσουσι.

333. Πτολίπορθος.] Πόλεις πορθοῦσα, πολεμική.

334. Ὅμιλον.] Πλῆθος, θόρυβον. Ὀπάζων.] Κατόπιν διώκων.

336. Ἄκρην οὔτασε χεῖρα.] Ἐκ τοῦ συνεγγὺς ἄκραν τὴν χεῖρα αὐτῆς ἔτρωσε. Μετάλμενος.] Ἐφαλλόμενος.

Ἀβληχρήν· εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
Ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταὶ,
Πρυμνὸν ὕπερ θέναρος· ῥέε δ' ἄμβροτον αἷμα θεοῖο,
Ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν·
Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον,
Τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται.
Ἡ δὲ μέγα ἰάχουσα ἀπὸ ἕο κάββαλεν υἱόν·
Καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων
Κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
Χαλκὸν ἐνὶ στήθεσσι βαλὼν, ἐκ θυμὸν ἕλοιτο.
Τῇ δ' ἐπὶ μακρὸν ἄϋσε βοὴν ἀγαθὸς Διομήδης·
Εἶκε, Διὸς θύγατερ, πολέμου καὶ δηϊοτῆτος.
Ἦ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
Εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦτε σ' ὀΐω
Ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι.

337. Ἀβληχρήν.] Ἀθενῆ, ἁπαλήν. Εἶθαρ.] Εὐθέως, καὶ παραχρῆμα. Ἀντετόρησε.] Διῆλθε, διέτρησεν.

338. Ἀμβροσίου.] Θείου. Ὅν οἱ.] Ὅνπερ αὐτῇ. Κάμον.] Ἔκαμον κατασκευάζουσαι.

339. Πρυμνὸν ὕπερ θέναρος.] Ὑπὲρ τὸ ἔσχατον τοῦ κοίλου τῆς χειρός. Ῥέεν.] Ἔῤῥει, ἐφέρετο.

340. Ἰχώρ.] Ὑγρασία τις διεφθαρμένης σαρκὸς ὕφαιμος. Οἷος.] Ὁποῖος. Μακάρεσσι.] Τοῖς μακαρισμοῦ ἀξίοις θεοῖς.

341. Ἔδουσιν.] Ἐσθίουσιν. Αἴθοπα.] Μέλανα.

342. Τοὔνεκα.] Τούτου χάριν. Ἀναίμονες.] Ἄνευ αἵματος.

343. Ἰάχουσα.] Βοήσασα, κράξασα. Κάββαλε.] Κατέβαλε.

344. Μετὰ χερσί.] Διὰ τῶν ἑαυτοῦ χειρῶν. Ἐρύσατο.] Ἐφύλαξε, ἔσωσε.

345. Κυανέῃ νεφέλῃ.] Μελαίνῃ νεφέλῃ.

347. Τῇ δ' ἐπὶ μακρὸν ἄϋσεν.] Ταύτῃ δὲ σφόδρα ἐπαΰσεν.

348. Εἶκε.] Ὑποχώρει. Δηϊοτῆτος.] Τῆς μάχης.

349. Οὐχ ἅλις.] Οὐχ αὐταρκεῖς. Ἀνάλκιδας.] Ἀσθενεῖς. Ἠπεροπεύεις.] Ἀπατᾷς, διὰ τοῦ ἔρωτος εἰς τοὺς ἄνδρας.

350. Πωλήσεαι.] Φοιτήσεις, παραγένηση, ἢ ἀναστραφήσῃ. Κατ' ἔκτασιν ἀντὶ τοῦ πολήσεαι.

351. Ῥιγήσειν.] Φρίξειν, εὐλαβηθῆναι. Ἑτέρωθι.] Ἀλλαχόσε. Πύθηαι.] Ἀκούσῃς, γνῷς. Ὁ δὲ λόγος· ἐὰν πάλιν ἔλθῃς εἰς πόλεμον, τοιαῦτά σε κακῶς διάθωμαι, ὡς καὶ

4

Ὣς ἔφαθ'· ἡ δ' ἀλύουσ' ἀπεβήσατο· τείρετο δ' αἰνῶς.
Τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα ποδήνεμος ἔξαγ' ὁμίλου,
Ἀχθομένην ὀδύνῃσι· μελαίνετο δὲ χρόα καλόν.
Εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
Ἥμενον· ἠέρι δ' ἔγχος ἐκέκλιτο, καὶ ταχέ' ἵππω·
Ἡ δὲ, γνὺξ ἐριποῦσα, κασιγνήτοιο φίλοιο,
Πολλὰ λισσομένη, χρυσάμπυκας ᾔτεεν ἵππους·
Φίλε κασίγνητ', ἐκκόμισαί τε με, δὸς δέ μοι ἵππους·
Ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί.
Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ
Τυδείδης, ὃς νῦν γε καὶ ἂν Διῒ πατρὶ μάχοιτο.
Ὣς φάτο· τῇ δ' Ἄρης δῶκε χρυσάμπυκας ἵππους·
Ἡ δ' ἐς δίφρον ἔβαινεν, ἀκηχεμένη φίλον ἦτορ·

καὶ ἄλλοθί που πόλεμον ἀκούσασαν εὐλαβηθῆναι.

352. Ἀλύουσα.] Ἀδημονοῦσα, καὶ οἷον λύσιν μὴ εὑρίσκουσα τῶν κακῶν. Αἰνῶς.] Δεινῶς, χαλεπῶς.

353. Ἑλοῦσα.] Λαβομένη. Ποδήνεμος.] Τοῖς ποσὶ ταχεῖα οἷον ἄνεμος. Ἔξαγ' ὁμίλου.] Ἐξήγαγε τοῦ πλήθους.

354. Ἀχθομένην.] Ὀδυνωμένην, βαρυμένην. Ὀδύνῃσιν.] Ὀδύναις. Μελαίνετο δὲ χρόα καλόν.] Μέλαν τὸ σῶμα αὐτῆς ἐγίγνετο, ὅ ἐστιν, ἐπελιδνοῦτο τὸ καλὸν αὐτῆς σῶμα.

355. Ἐπ' ἀριστερά.] Ἐπὶ τὸ ἀριστερὸν τῆς μάχης μέρος. Θοῦρον.] Τὸν ὁρμητικὸν καὶ πολεμιστήν.

356. Ἠέρι δ' ἔγχος ἐκέκλιτο, καὶ ταχέ' ἵππω.] Ἀντὶ τοῦ, ὁμίχλῃ δὲ ἐκεκάλυπτο τὸ δόρυ αὐτοῦ, καὶ οἱ ἵπποι. ὅ ἐστιν, ἀόρατος ἦν. Ἐκέκλιτο.] Περιεκέκλιτο, περιέκειτο. Ταχέε.] Ἀντὶ τοῦ, οἱ ταχεῖς. Δυϊκῶς.

357. Γνὺξ.] Ἀντὶ τοῦ, ἐπὶ γόνυ. Ἐριποῦσα.] Πεσοῦσα.

358. Χρυσάμπυκας.] Χρυσοχαλίνους, ἀπὸ μέρους, ἢ, χρυσοκόμους. Κυρίως γὰρ ἄμπυξ καλεῖται σειρὰ κατάχρυσος, ἡ ἀπὸ μετώπου τεινομένη, ᾗ συνδοῦνται αἱ τρίχες. Ἤτεεν.] Ἤτει.

359. Φίλε.] Προσφιλέστατε. Κασίγνητε.] Γνήσιε ἀδελφέ. Ἐκκόμισαι.] Ἐπιμελείας καταξίωσον, περίσωσον.

360. Ἵνα.] Ὅπου. Ἕδος.] Ἕδρασμα, κάθισμα, οἶκος.

361. Λίην.] Λίαν, πάνυ. Ἄχθομαι.] Βαροῦμαι ὑπὸ τοῦ τραύματος.

362. Ὃς νῦν γε καὶ ἂν Διῒ πατρὶ μάχοιτο.] Ὃς οὐκ ἂν ἀπόσχοιτο οὔτε τῆς πρὸς τὸν Δία μάχης.

364. Ἀκηχεμένη.] Λυπουμένη.

Πὰρ δέ οἱ Ἶρις ἔβαινε, καὶ ἡνία λάζετο χερσί·
Μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην·
Αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον·
Ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις,
Λύσασ' ἐξ ὀχέων· παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.
Ἡ δ' ἐν γούνασι πίπτε Διώνης δῖ' Ἀφροδίτη,
Μητρὸς ἑῆς· ἡ δ' ἀγκὰς ἐλάζετο θυγατέρα ἥν,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, οὐρανιώνων
Μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;
Τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
Οὖτά με Τυδέος υἱὸς, ὑπέρθυμος Διομήδης,
Οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
Οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ,
Ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.
Τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη, δῖα θεάων·
Τέτλαθι, τέκνον ἐμὸν, καὶ ἀνάσχεο, κηδομένη περ.
Πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ' ἔχοντες.

365. Πὰρ δέ οἱ.] Παρ' αὐτὴν δέ. Λάζετο.] Ἐλάμβανε.

366. Μάστιξεν.] Ἔπληξεν. Ἐλάαν.] Ἐλαύνειν. Οὐκ ἀέκοντε.] Οὐκ ἀπροθύμως, ἀλλὰ προθύμως. Πετέσθην.] Ἔτρεχον. ὑπερβολικῶς.

367. Αἰπύν.] Ὑψηλόν.

369. Παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.] Παρέβαλε δὲ αὐτοῖς τὸ θεῖον ἔδεσμα. Ὅ ἐστι, τροφήν.

371. Ἀγκάς.] Εἰς τὰς ἀγκάλας. Ἐλάζετο.] Ἐλάμβανε. Θυγατέρα ἥν.] Τὴν ἑαυτῆς θυγατέρα.

373. Τίς νύ σε.] Τίς δή σε. Τοιάδ' ἔρεξε,] Τοιαῦτα εἰργάσατο, ἢ ἔδρασεν. Οὐρανιώνων.] Τῶν ἐν οὐρανῷ οἰκούντων θεῶν, ἢ ἀπὸ τοῦ Οὐρανοῦ τὸ γένος ἐχόντων.

374. Μαψιδίως.] Ματαίως. Ῥέζουσαν.] Πράττουσαν. Ἐνωπῇ.] Ἐν ὄψει, φανερῶς.

376. Ὑπέρθυμος.] Ὑπερήφανος. ὑπέρογκος. μεγαλόψυχος, γενναῖος.

377. Ὑπεξέφερον.] Ὑπεξεκόμιζον.

378. Ἐστίν.] Ὑπάρχει.

379. Φύλοπις αἰνή.] Δεινὴ μάχη.

382. Τέτλαθι.] Καρτέρησον. ὑπόμεινον. Ἀνάσχεο.] Ἀνάσχου. Κηδομένη περ.] Καίπερ λυπουμένη.

383. Τλῆμεν.] Ἐκαρτερήσαμεν. ὑπεμείναμεν.

Ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος, κρατερός τ' Ἐφιάλτης,
Παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας·
Καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης, ἆτος πολέμοιο,
Εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν· ὁ δ' ἐξέκλεψεν Ἄρηα
Ἤδη τειρόμενον· χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
Τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύονος,
Δεξιτερὸν κατὰ μαζὸν, ὀϊστῷ τριγλώχινι
Βεβλήκει· τότε κέν μιν ἀνήκεστον λάβεν ἄλγος.
Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν,
Εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς αἰγιόχοιο,

384. Ἐξ ἀνδρῶν.] Ὑπ' ἀνθρώπων. Χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.] Ἀλλήλους κακῶς πράσσοντες.

385. Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης.] Ἐκαρτέρησε μὲν ὁ Ἄρης, καὶ ὑπέμεινεν. Ὦτος δὲ καὶ Ἐφιάλτης, Ἀλωέως παῖδες, καὶ Ἰφιμεδείας, κατ' ἐπίκλησιν δὲ Ποσειδῶνος, μέγιστοι καὶ ἰσχυροὶ γενόμενοι, ἔπαυσαν τοὺς πολέμους. Διὸ ἐμυθεύθη, ὅτι ἔδησαν τὸν Ἄρην.

386. Ἀλωῆος.] Ἀλωέως. Κρατερῷ.] Ἰσχυρῷ.

387. Χαλκέῳ κεράμ.] Χαλκῷ καὶ σκληρῷ ἀγγείῳ, πίθῳ, ἢ δεσμωτηρίῳ. οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον κέραμον καλοῦσι.

388. Καί νύ κε.] Καὶ δὴ ἄν. Ἔνθα.] Τότε. Ἆτος πολέμοιο.] Ὁ ἀπλήρωτος καὶ ἀκόρεστος τοῦ πολέμου.

389. Εἰ μὴ μητρυιή.] Ἐὰν μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ ἡ Ἐρίβοια ἀπήγγειλε τῷ Ἑρμῇ, ἵνα ἐκκλέψῃ τὸν Ἄρην τοῦ δεσμοῦ. Περικαλλής.] Πάνυ καλή.

390. Ἐξήγγειλε.] Παρεκάλεσεν, ἐδεήθη.

391. Ἤδη.] Εὐθέως. Τειρόμενον.] Καταπονούμενον. Ἕ.] Αὐτόν. Ἐδάμνα.] Ἐδάμαζε, κατεπόνει.

392. Τλῆ δ' Ἥρη.] Ἐκαρτέρησε δὲ καὶ ἡ Ἥρα. Παῖς Ἀμφιτρύωνος.] Ὁ Ἡρακλῆς. Ἑκατέραις γὰρ γενεαλογίαις καλεῖ αὐτὸν ὁ Ποιητὴς, ὅτε μὲν Διὸς υἱὸν λέγων, ὅτε δὲ Ἀμφιτρύωνος.

293. Δεξιτερὸν κατὰ μαζόν.] Κατὰ τὸν δεξιὸν μαζόν.

394. Βεβλήκει.] Ἀντὶ τοῦ, ἔβαλε. Τότε κέν μιν.] Τότε ἂν αὐτῷ. Ἀνήκεστον.] Ἀνίατον, ἀθεράπευτον. Ἄλγος.] Κακόν.

395. Ἀΐδης.] Ἅιδης. Πελώριος.] Μέγας.

396. Ὠυτός.] Ὁ αὐτὸς ἀνήρ. Δισυλλάβως δὲ ἀναγνωστέον. Υἱὸς Διὸς Αἰγιόχοιο.] Ὁ Ἡρακλῆς.

Ἐν πύλῳ ἐν νεκύεσσι βαλὼν, ὀδύνῃσιν ἔδωκεν·
(Αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον,
Κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀϊστὸς
Ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν·
Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων,
Ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.)
Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Ὃς τόξοισιν ἔκηδε θεοὺς, οἳ Ὄλυμπον ἔχουσι.
Σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
Νήπιος, οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱὸς,
Ὅττι μάλ' οὐ δηναιὸς, ὃς ἀθανάτοισι μάχοιτο,
Οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν,
Ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
Τῷ νῦν Τυδείδης, εἰ καὶ μάλα καρτερός ἐστι,
Φραζέσθω, μή τις οἱ ἀμείνων σεῖο μάχηται·
Μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη
Ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ,

397. Ἐν πύλῳ ἐν νεκύεσσι.] Ἀντὶ τοῦ, ἐν πύλῃ, πρὸς τῇ πύλῃ. Ὀδύνῃσιν ἔδωκεν.] Εἰς ὀδύνας ἔδωκε λυπέμενον.

399. Πεπαρμένος.] Διαπεπερονημένος.

400. Ἠλήλατο.] Ἐνελήλατο, ἐνήρειστο, ὑπέκειτο. Κῆδε.] Ἐλύπει, ἠνία, ἐκάκου.

401. Παιήων.] Ὁ τῶν θεῶν ἰατρὸς Παιών. Ὀδυνήφατα.] Τὰς ὀδύνας καταπαύοντα καὶ φθείροντα. Πάσσων.] Ἐπιβάλλων.

402. Ἠκέσατο.] Ἐθεράπευε.

403. Σχέτλιος.] Ἀγνώμων, ἄδικος. Ὀβριμοεργός.] Μεγάλως μοχθηρίαις ἐπιτιθέμενος, μεγάλοις ἔργοις ἐπιτιθέμενος, καὶ ἰσχυρὰ διαπραττόμενος. Ἰσχυροπράγμων.] Ἰσχυρὸς ἐν τῷ ἐργάζεσθαι, ἰσχυρὰ ἐργαζόμενος. Οὐκ ὄθεται.] Οὐκ ἐπιστρέφεται. ἀπαμελεῖ. ἀφροντιστεῖ. ἀτημελῶς καὶ ἀφροντίστως ἔχει. Αἴσυλα.] Ἁμαρτωλὰ, παράνομα.

404. Ἔκηδε.] Ἐκάκου, ἐλύπει, καταπόνει.

405. Σοὶ δ' ἔπι.] Ἐπίσε. κατὰ σοῦ. Ἀνῆκεν.] Ἀνέπεισεν. ἐπώτρυνε.

406. Νήπιος.] Ἄφρων, ὀλιγόφρων.

407. Δηναιός.] Πολυχρόνιος.

408. Παππάζουσι.] Πάππα φωνοῦσι. πατέρα καλοῦσιν.

412. Αἰγιάλεια.] Γυνὴ Διομήδους. Περίφρων.] Περισσόφρων, ἄγαν συνετὴ, περιττῶς φρονοῦσα. Ἀδρηστίνη.] Ἡ Ἀδράστου θυγάτηρ.

413. Γοόωσα.] Θρηνοῦσα. Οἰκῆας.] Οἰκείους, οἰκέτας. Ἐγείρῃ.] Διϋπνίσῃ.—

Κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν,
Ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶρ' χειρὸς ὀμόργνυ·
Ἄλθετο χείρ, ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι.
Αἱ δ' αὖτ' εἰσορόωσαι Ἀθηναίη τε καὶ Ἥρη,
Κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον·
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι ὅ,ττι κεν εἴπω;
Ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα
Τρωσὶν ἅμ' ἑσπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησε,
Τῶν τινα καῤῥέζουσα Ἀχαιϊάδων εὐπέπλων,
Πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἀραιήν.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καί ῥα καλεσσάμενος προσέφη χρυσῆν Ἀφροδίτην·
Οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα·
Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
Ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἰνείᾳ δ' ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,

414. Κουρίδιον.] Τὸν ἐκ παρθενίας ἄνδρα γεγαμηκότα αὐτήν.

416. Ἰχῶρα.] Λέγει θεῖον αἷμα. Ἡ ὑγρὰ θεῶν οὐσία ἰχὼρ καλεῖται. Ἀπὸ χειρὸς ἰχῶρα ὀμόργνυ.] Ἀπεμόργνυ τῆς χειρὸς τὸν ἰχῶρα. ἀπέψα, ἀπέμασσεν.

417. Ἄλθετο.] Ἐθεραπεύετο, ἀφυγιάζετο, ὑγιὴς ἐγίνετο. Κατηπιόωντο.] Κατεπραΰνοντο.

419. Κερτομίοις.] Ἐρεθιστικοῖς. Ἐρέθιζον.] Παρώξυνον, ἐκίνουν.

421. Κεχολώσεαι.] Ὀργισθήσῃ.

422. Κύπρις.] Τὸ ἐπίθετον Ἀφροδίτης. Ἀχαιϊάδων.] Τῶν Ἑλληνίδων γυναικῶν. Ἀνιεῖσα.] Ἀναπείθουσα.

423. Ἅμ' ἑσπέσθαι.] Συνακολουθῆσαι. Ἔκπαγλα.] Ἐξόχως.

424. Καῤῥέζουσα.] Καταρέζουσα πλησίον παρακαθίζουσα, καταψῶσα τῇ χειρί. Εὐπέπλων.] Εὐστολισμένων, εὐστόλων.

425. Περόνῃ.] Πόρπῃ ἐν τῇ περιβολῇ. Καταμύξατο.] Κατεξέσθη. Ἀραιήν.] Ἀσθενῆ. Σημαίνει δὲ καὶ λεπτήν.

427. Χρυσῆν Ἀφροδίτην.] Καλὴν λέγει νῦν.

428. Οὔ τοι.] Οὔ σοι. οὐδαμῶς σοι.

429. Ἱμερόεντα.] Ἐπέραστα, θαυμαστά.

432. Ἐπόρουσεν.] Ἐφώρμησεν.

Γιγνώσκων ὅ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
Ἀλλ' ὅγ' ἄρ' οὐδὲ θεὸν μέγαν ἅζετο, ἵετο δ' αἰεὶ
Αἰνείαν κτεῖναι, καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
Τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ' Ἀπόλλων·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων.
Φράζεο, Τυδείδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
Ἶσ' ἔθελε φρονέειν· ἐπεὶ οὔποτε φῦλον ὁμοῖον
Ἀθανάτων τε θεῶν, χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.
Ὣς φάτο· Τυδείδης δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω,
Μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος·
Αἰνείαν δ' ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων,
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γ' ἐτέτυκτο·
Ἤ τοι τὸν Λητώ τε, καὶ Ἄρτεμις ἰοχέαιρα,
Ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε, κύδαινόν τε.
Αὐτὰρ ὁ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων,
Αὐτῷ τ' Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον·

433. Ὑπείρεχεν.] Ὑπερεῖχε, προεβέβλητο, ὑπερεμάχετο.

434. Ἅζετο.] Ἐσέβετο. Ἵετο.] Προεθυμεῖτο.

435. Δῦσαι.] Ἀποδῦσαι.

437. Ἐστυφέλιξε.] Διέσεισε, διεκίνησε. Φαεινήν.] Λαμπράν.

438. Ἐπέσσυτο.] Ἐφώρμησε. Δαίμονι ἶσος.] Θεῷ ὅμοιος.

439. Ὁμοκλήσας.] Ἐπαπειλήσας, ἐπιτιμητικῶς βοήσας.

440. Φράζεο.] Σκέπτου, διαλογίζου. Χάζεο.] Ἀναχώρει.

441. Φῦλον.] Ἔθνος.

442. Χαμαὶ ἐρχομένων.] Ἀντὶ τοῦ, ἀποθνησκόντων. ἢ, ἐπὶ γῆς βαδιζόντων. ἢ, χαμαιερριφῶν. ἢ, φθαρτῶν.

443. Τυτθόν.] Μικρόν. ὀλίγον.

444. Ἀλευάμενος.] Ἐκκλίνας.

445. Ἀπάτερθεν.] Ἄποθεν.

446. Περγάμῳ.] Τῇ ἀκροπόλει τῶν Τρώων τῆς Ἰλίου οὕτω καλουμένῃ.

447. Ἰοχέαιρα.] Ἡ ἰοῖς, ὅ ἐστι βέλεσι, χαίρουσα, τοῦτ' ἔστι, τοξική.

448. Ἀδύτῳ.] Ναῷ. Ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν, εἰς οὓς οὐκ ἔξεστιν εἰσιέναι πᾶσιν. Ἀκέοντο.] Ἐθεράπευον, νῦν. ἢ, ἐπεμελοῦντο. ἢ, παρεμυθοῦντο. Κύδαινον.] Ἐδόξαζον, πρὸς δόξαν προετρέποντο.

450. Ἴκελον.] Ὅμοιον. Τοῖον.] Τοιοῦτον.

Ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
Δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας
Ἀσπίδας εὐκύκλους, λαισήϊά τε πτερόεντα.
Δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·
Ἆρες, Ἄρες, βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
Οὐκ ἂν δὴ τόνδ' ἄνδρα μάχης ἐρύσαιο μετελθὼν
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διῒ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ·
Αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο, δαίμονι ἶσος.
Ὣς εἰπὼν, αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ·
Τρῴων δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθὼν,
Εἰδόμενος Ἀκάμαντι, θοῷ, ἡγήτορι Θρῃκῶν·
Υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσι κέλευεν·
Ὦ υἱεῖς Πριάμοιο, διοτρεφέος βασιλῆος,
Ἐς τί ἔτι κτείνεσθαι ἐάζετε λαὸν Ἀχαιοῖς;
Ἦ εἰσόκεν ἀμφὶ πύλης' εὖ ποιητῇσι μάχωνται;
Κεῖται ἀνὴρ, ὃν τ' ἶσον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο.
Ἀλλ' ἄγετ', ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.

452. Δήουν.] Διέκοπτον. Βοείας.] Τὰς ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν.

453. Εὐκύκλους.] Περιφερεῖς. Εὖ ἐχούσας ἐν τῇ περιφερείᾳ. Λαισήϊα.] Μικρὰ ἀσπιδίσκια θυρεοειδῆ, ὠμοβύρσινα σάκη, ἐκ λασίων βυρσῶν αἰγείων. ἢ, ὅπλα κοῦφα· παρὰ τὸ, ἐν τῇ λαιᾷ χειρὶ βαστάζεσθαι.

454. Θοῦρον.] Ὁρμητικὸν ἐν τῷ πολέμῳ.

455. Βροτολοιγέ.] Ἀνδροφόνε.

456. Ἐρύσαιο.] Ἑλκύσειας.

458. Χεῖρ' ἐπὶ καρπῷ.] Ἐπὶ τὸν καρπὸν τῆς χειρός. ἀνὰ χεῖρα, ἐν χειρί.

459. Ἐπέσσυτο.] Ἐφώρμησεν.

460. Ἄκρῃ.] Ἀκροπόλει.

461. Τρῴων δὲ στίχας.] Τοὺς δὲ Τρῶας εἰς τάξεις καθεστῶτας. Οὖλος.] Ὀλέθριος. Ὤτρυνε.] Παρώξυνεν.

462. Εἰδόμενος.] Ὁμοιωθείς. Ἡγήτορι.] Ἡγεμόνι.

465. Ἐς τί ἔτι.] Μέχρι τίνος.

466. Εἰσόκεν.] Ἕως ἂν, μέχρις ἄν. Εὖ ποιητῇσιν.] Εὖ πεποιημέναις, εὖ καὶ καλῶς κατεσκευασμέναις.

467. Ἶσον.] Ἐπίσης. ὁμοίως. Ἐτίομεν.] Ἐτιμῶμεν.

469. Ἐκ φλοίσβοιο.] Ἐκ ταραχῆς.

Ἔνθ' αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον·
Ἕκτορ, πῆ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
Φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν, ἠδ' ἐπικούρων,
Οἶος, σὺν γαμβροῖσι, κασιγνήτοισί τε σοῖσι·
Τῶν νῦν οὔ τιν' ἐγὼ ἰδέειν δύναμ', οὐδὲ νοῆσαι,
Ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα.
Ἡμεῖς δ' αὖ μαχόμεσθ', οἵπερ τ' ἐπίκουροι ἔνειμεν.
Καὶ γὰρ ἐγὼν, ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἥκω·
Τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι,
Ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱὸν,
Κὰδ δὲ κτήματα πολλὰ, τάτ' ἔλδεται ὅσκ' ἐπιδευής·
Ἀλλὰ καὶ ὣς, Λυκίους ὀτρύνω, καὶ μέμον' αὐτὸς
Ἀνδρὶ μαχέσσασθαι· ἀτὰρ οὔτι μοι ἐνθάδε τοῖον,
Οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ, ἤ κεν ἄγοιεν·
Τύνη δ' ἕστηκας· ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις
Λαοῖσιν μενέμεν, καὶ ἀμυνέμεναι ὤρεσσι.
Μήπως, ὡς ἀψῖσι λίνου [που] ἁλόντε πανάγρου,
Ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε·
Οἱ δὲ τάχ' ἐκπέρσουσ' εὖ ναιομένην πόλιν ὑμήν.

471. Νείκεσεν.] Ὠνείδισε.

472. Πῆ δή τοι.] Ποῦ δή σοι. Οἴχεται.] Πεπόρευται. Ἔχεσκες.] Εἶχες.

473. Φῆς.] Ἔλεγες. Που.] Ἀντὶ τοῦ, δή. Ἄτερ.] Χωρίς. Ἑξέμεν.] Ἕξειν. συνέξειν, συνεκσώσειν, φυλάξειν.

474. Γαμβροῖσιν.] Οἱ ἄνδρες τῶν θυγατέρων.

475. Νοῆσαι.] Θεάσασθαι.

476. Καταπτώσσουσι.] Δειλιῶσιν.

477. Ἔνειμεν.] Εἰμὲν, ἐσμὲν, ὑπάρχομεν.

478. Ἥκω.] Παραγέγονα.

479. Τηλοῦ.] Μακρόθεν. Δινήεντι.] Δίνας ἔχοντι. Δῖναι δέ εἰσιν αἱ τῶν ὑδάτων συστροφαί.

481. Ἔλδεται.] Ἐπιθυμεῖ. Ἐπιδευής.] Ἐνδεής.

485. Τύνη.] Δωρικῶς, ἀπὸ τοῦ τύ, ἐν παραγωγῇ τύνη, ὅ ἐστι, σύ. ὡς, ἀπὸ τοῦ ἐγώ, ἐγώνη, καὶ ἐγών.

486. Μενέμεν.] Ὑπομένειν. Ὤρεσσι.] Ὀάρεσσι, ταῖς γυναιξί.

487. Ἀψῖσι λίνου.] Τοῖς ἅμμασι καὶ ταῖς συναφαῖς τοῦ λίνου. Περιφραστικῶς δὲ τό, δίκτυ δικτύου. Λίνου.] Δικτύου. Ἁλόντε.] Ληφθέντες. Πανάγρου.] Τοῦ πάντα ἀγρεύοντος.

488. Ἕλωρ.] Ἕλκυσμα, ἔλασμα, καὶ ἀναίρεμα. Κύρμα.] Εὕρημα, ἔντευγμα· οἷον, ἐπίτευγμα, εὐτύχημα. Λέγει δὲ τῶν ἐχθρῶν.

489. Ὑμήν.] Ὑμετέραν.

491. Λιτ-

Σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ,
Ἀρχοὺς λισσομένῳ τηλεκλητῶν γ' ἐπικούρων,
Νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν.
Ὣς φάτο Σαρπηδών· δάκε δὲ φρένας Ἕκτορι μῦθος·
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶσε·
Πάλλων δ' ὀξέα δοῦρα, κατὰ στρατὸν ᾤχετο πάντῃ,
Ὀτρύνων μαχέσασθαι· ἔγειρε δὲ φύλοπιν αἰνήν·
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, οὐδ' ἐφόβηθεν.
Ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς,
Ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
Κρίνει ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας·
Αἱ δ' ὑπολευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
Λευκοὶ ὕπερθε γένοντο κονισσάλῳ, ὅν ῥα δι' αὐτῶν
Οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,

491. Λισσομένῳ.] Δεομένῳ.

492. Νωλεμέως.] Ἀδιαλείπτως, συνεχῶς. Ἐχέμεν.] Συνέχειν, ἢ ἀντέχειν, πρὸς τὴν μάχην, καὶ μὴ ἐνδιδόναι. Ἐνιπήν.] Ἐπίπληξιν.

493. Δάκε.] Καθίκετο, καθήψατο.

494. Ἆλτο.] Καθήλατο.

495. Πάλλων.] Κινῶν. Πάντῃ.] Πανταχοῦ.

497. Ἐλελίχθησαν.] Συνεστράφησαν, μεταβαλλόμενοι εἰλήθησαν.

498. Ἀολλέες.] Συνεσταλμένοι, ἀθρόοι, συνηγμένοι. Ἐφόβηθεν.] Ἐφοβήθησαν.

499. Ἄχνας.] Τὰ λεπτὰ τῶν ἀχύρων, ἢ τὰ ἄχυρα. Ἄχνη δὲ καλεῖται καὶ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός. Φορέει.] Φέρει, διασκορπίζει. σκεδάζει. Ἀλωάς.] Ἀλωνείας. Νῦν δὲ τοὺς τόπους, ὅπου ὁ πυρὸς πατεῖται, τουτέστιν, ἀλοᾶται. Σημαίνει δὲ καὶ τὴν δενδροφόρον γῆν, καὶ ἐν ᾗ ἀπὸ τοῦ σίτου τὰ ἄχυρα διαιρεῖται. Λικμᾶν γάρ ἐστι τὸ χωρίζειν ἀπὸ τοῦ σίτου τὸ ἄχυρον τοῖς πτύοις.

500. Ξανθὴ Δημήτηρ.] Ὁ πυρός. Ὁ δὲ τρόπος μετωνυμία. Ἡ αὐτὴ ἡ θεός, ἡ γεωργικὴ ἐπιστήμη.

501. Κρίνει.] Διαχωρίζει. Ἐπειγομένων.] Ἀντὶ τοῦ, ἐπειγόντων, καὶ συνεχῶς καὶ μετὰ βίας πνεόντων.

502. Ἀχυρμιαί.] Ἀχυροθῆκαι οἱ τόποι, εἰς οὓς χωριζόμενα τοῦ σίτου τὰ ἄχυρα ἐκπίπτει.

503. Ὕπερθεν.] Ὑπεράνωθεν. Κονισσάλῳ] Τῷ κονιορτῷ.

504. Πολύχαλκον.] Στερεὸν, λίαν ἰσχυρόν. Ἐπέπληγον.] Πλήσσοντες σφοδρῶς καὶ ἐντόνως ἤγειρον καὶ ἀνέπαλλον καὶ ἀνεκίνουν.

505. Αψ

Ἂψ ἐπιμισγομένων· ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες.
Οἱ δὲ μένος χειρῶν ἰθὺς φέρον· ἀμφὶ δὲ νύκτα
Θοῦρος Ἄρης ἐκάλυψε μάχῃ, Τρώεσσιν ἀρήγων,
Πάντοσ' ἐποιχόμενος, τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ἴδε Παλλάδ' Ἀθήνην
Οἰχομένην· ἡ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
Αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
Ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ' ἑτάροισι μεθίστατο· τοὶ δ' ἐχάρησαν,
Ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα,
Καὶ μένος ἐσθλὸν ἔχοντα· μετάλλησάν γε μὲν οὔτι·
Οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν Ἀργυρότοξος ἔγειρεν,
Ἄρης τε βροτολοιγὸς, Ἔρις τ' ἄμοτον μεμαυῖα.
Τοὺς δ' Αἴαντε δύω, καὶ Ὀδυσσεὺς καὶ Διομήδης,
Ὤτρυνον Δαναοὺς πολεμιζέμεν· οἱ δὲ καὶ αὐτοὶ
Οὔτε βίας Τρώων ὑπεδείδισαν, οὔτε ἰωκάς·
Ἀλλ' ἔμενον, νεφέλῃσιν ἐοικότες· ἅς τε Κρονίων,
Νηνεμίης, ἔστησεν ἐπ' ἀκροπόλοισιν ὄρεσσιν,

505. Ἂψ ἐπιμισγομένων.] Ἐξ ὑποστροφῆς ἐμβαλλόντων. Ὑπὸ δ' ἔστρεφον.] Ὑπέστρεφον δέ.

506. Μένος χειρῶν ἰθὺς φέρον.] Τὴν διὰ τῶν χειρῶν δύναμιν ἐναντίον ἔφερον ἀλλήλων. Ἰθύς.] Ἐπ' εὐθείας. Νύκτα.] Ἀχλύν.

507. Ἀρήγων.] Βοηθῶν.

508. Πάντοσε.] Πανταχοῦ, πανταχόσε. Ἐκραίαινεν.] Ἐπετέλει. Ἐφετμάς.] Ἐντολάς.

509. Χρυσαόρου.] Χρυσοφασγάνου, χρυσοῦν ξίφος ἔχοντος.

511. Πέλεν.] Ἐγίνετο, ἦν.

512. Πίονος.] Νῦν, πλουσίου, ἢ, λιπαροῦ, εὐδαίμονος.

513. Ἧκεν.] Ἀφῆκεν.

514. Ἑτάροισι μεθίστατο.] Ἐν τοῖς ἑταίροις ἔστη, ἐν αὐτοῖς ἵστατο.

515. Ἀρτεμέα.] Ὑγιῆ.

516. Μετάλλησαν.] Ἐπεζήτησαν. Οὔτι.] Οὐδέν.

517. Ἔα.] Ἀντὶ τοῦ, εἴα. Πόνος.] Ἐνέργεια. Δηλοῖ δὲ νῦν κακοπάθειαν.

518. Ἄμοτον.] Ἀπλήρωτον.

521. Ἰωκάς.] Κραυγὰς, ἀπειλὰς, ἢ τὰς ἐν τῷ πολέμῳ διώξεις καὶ ὁρμάς.

523. Νηνεμίης.] Ἐπὶ νηνεμίας. Ἀκροπόλοισιν.] Ὧν περὶ τὰ ἄκρα αἱ νεφέλαι πολοῦνται, ὅ ἐστιν, ἀναστρέφονται. ὧν αἱ ἄκραι τὸν πόλον, τὸν οὐρανὸν, ἐπαναβιβάζουσι.

524. Ἀτρέ-

Ἀτρέμας, ὄφρ' εὕδῃσι μένος Βορέαο, καὶ ἄλλων
Ζαχρειῶν ἀνέμων, οἵτε νέφεα σκιόεντα
Πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
Ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδ' ἐφέβοντο.
Ἀτρείδης δ' ἀν' ὅμιλον ἐφοίτα, πολλὰ κελεύων·
Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
Αἰδομένων τ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται·
Φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.
Ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς· βάλε δὲ πρόμον ἄνδρα,
Αἰνείεω ἕταρον μεγαθύμου Δηϊκόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
Τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι·
Τόν ῥα κατ' ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων·
Ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο καὶ τῆς·
Νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἔνθ' αὖτ' Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
Υἷε Διοκλῆος, Κρήθωνά τε, Ὀρσίλοχόν τε·
Τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ,

524. Ἀτρέμας.] Ἐφ' ἡσυχίας, ἄνευ τινὸς κινήσεως. Ὄφρ' εὕδῃσι.] Ὅτ' ἀνηρεμῇ.

525. Ζαχρειῶν.] Ἄγαν χρειωδῶν, μεγάλως πνεόντων. Σκιόεντα.] Μελαίνας σκιὰς ποιοῦντα.

526. Λιγυρῇσι.] Λιγυραῖς, ἡδείαις, ἢ ὀξείαις, σφοδραῖς. Διασκιδνᾶσι.] Διασκορπίζουσιν. Ἀέντες.] Πνέοντες.

528. Ἐφοίτα.] Ἐπορεύετο.

529. Ἀνέρες.] Νῦν ἀντὶ τοῦ ἀνδρεῖοι. Ἄλκιμοι.] Ἰσχυρόν. Ἕλεσθε.] Ἀναλάβετε.

530. Αἰδεῖσθε.] Διατηρεῖτε. ἀλλήλοις προσέχετε.

531. Σόοι.] Σῶοι, ὑγιεῖς. Πέφανται.] Πεφονευμένοι εἰσὶν, ἢ, ἀναιροῦνται. Σημαίνει δὲ καὶ τὸ, γεγόνασι φανεροὶ, πεφανέρωνται.

535. Περγασίδην.] Περγάσου υἱόν.

536. Τῖον.] Ἐτίμων. Θοός.] Ταχὺς, πρόθυμος, πολεμικός.

538. Ἔρυτο.] Ὑπέμεινεν, ἐκώλυσεν, ἐφύλαξεν. Παρὰ τὸ ἔρυμαι, ἀντὶ τοῦ ἐρύομαι. Εἴσατο.] Διῆλθε.

539. Νειαίρῃ.] Τῇ νεάτῃ. Λέγει δὲ τὸ ἔσχατον μέρος τῆς γαστρός.

543. Ἔναιε.] Κατῴκει. Ἐϋκτιμένῃ.] Καλῶς κατεσκευασμένῃ.

Ἀφνειὸς βιότοιο· γένος δ' ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης·
Ὃς τέκετ' Ὀρσίλοχον πολέεσσ' ἄνδρεσσιν ἄνακτα·
Ὀρσίλοχος δ' ἄρ' ἔτικτε Διοκλῆα μεγάθυμον·
Ἐκ δὲ Διοκλῆος διδυμάονε παῖδε γενέσθην,
Κρήθων, Ὀρσίλοχός τε, μάχης εὖ εἰδότε πάσης.
Τὼ μὲν ἄρ' ἡβήσαντε, μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰς εὔπωλον ἅμ' Ἀργείοισιν ἑπέσθην,
Τιμὴν Ἀτρείδῃς', Ἀγαμέμνονι καὶ Μενελάῳ,
Ἀρνυμένω· τὼ δ' αὖθι τέλος θανάτοιο κάλυψεν.
Οἵω τώγε λέοντε δύω ὄρεος κορυφῇσιν
Ἐτραφέτην ὑπὸ μητρὶ, βαθείης τάρφεσιν ὕλης·
Τὼ μὲν ἄρ' ἁρπάζοντε βόας καὶ ἴφια μῆλα
Σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
Ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ·
Τοίω τὼ χείρεσσιν ὑπ' Αἰνείαο δαμέντε
Καππεσέτην, ἐλάτῃσιν ἐοικότες ὑψηλῇσι.
Τὼ δὲ πεσόντ' ἐλέησε βοὴν ἀγαθὸς Μενέλαος·
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
Σείων ἐγχείην· τοῦ δ' ὤτρυνεν μένος Ἄρης,
Τὰ φρονέων, ἵνα χερσὶν ὑπ' Αἰνείαο δαμείη.

544. Βιότοιο.] Νῦν, τοῦ πρὸς τὸ ζῆν ἐπιτηδείου.

545. Ἀλφειοῦ.] Ἀλφειὸς ποταμὸς ἐν Ἤλιδι. Εὐρὺ ῥέει.] Ἀντὶ τοῦ, εὐρέως, πλατέως.

548. Γενέσθην.] Ἐγεννήθησαν.

550. Ἡβήσαντε.] Ἀκμάσαντες. δυϊκῶς.

551. Εὔπωλον.] Καλοὺς ἵππους ἔχουσαν, εὔιππον.

553. Ἀρνυμένω.] Ἀντικαταλλασσομένω, περιάπτοντες.

555. Τάρφεσι.] Πυκνώμασι, συνεχέσι τόποις. Ὕλης.] Συμφύτου τόπου.

556. Ἴφια.] Ἤτοι εὐτραφῆ.

557. Σταθμούς.] Τὰς ἐπαύλεις. Κεραΐζετον.] Πορθοῦσι, κενοῦσι. καθὼς πεφύκασιν οἱ ταῦροι τοῖς κέρασιν.

558. Ἐν παλάμῃσιν.] Ἀντὶ τοῦ, ἐν ταῖς χερσί.

560. Καππεσέτην.] Κατέπεσον. δυϊκῶς. Ἐλάτῃσιν.] Ἐλάτη, εἶδος δένδρου.

563. Σείων.] Κινῶν.

564. Δαμείη.] Φονευθῇ.

Τὸν δ' ἴδεν Ἀντίλοχος μεγαθύμου Νέστορος υἱός.
Βῆ δὲ διὰ προμάχων· περὶ γὰρ δίε ποιμένι λαῶν,
Μή τι πάθῃ, μέγα δὲ σφας ἀποσφήλειε πόνοιο.
Τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα,
Ἀντίον ἀλλήλων ἐχέτην, μεμαῶτε μάχεσθαι.
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής,
Ὡς εἶδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
Οἱ δ' ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
Τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων·
Αὐτὼ δὲ στρεφθέντε, μετὰ πρώτοισι μαχέσθην.
Ἔνθα Πυλαιμένεα ἑλέτην, ἀτάλαντον Ἄρηϊ,
Ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
Τὸν μὲν ἄρ' Ἀτρείδης δουρικλυτὸς Μενέλαος
Ἑσταότ' ἔγχεϊ νύξε, κατὰ κληῗδα τυχήσας.
Ἀντίλοχος δὲ Μύδωνα βάλ' ἡνίοχον θεράποντα,
Ἐσθλὸν Ἀτυμνιάδην, (ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους,)
Χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ' ἄρα χειρῶν
Ἡνία λεύκ' ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφει ἔλασε κόρσην·
Αὐτὰρ ὅγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,

566. Πέρι γὰρ δίε.] Περισσῶς γὰρ δέδιε, καὶ ἐφοβεῖτο.

567. Μέγα.] Μεγάλως. Σφέας.] Συσταλτέον διὰ τὸ μέτρον, κατὰ συνίζησιν. Ἀποσφήλειε πόνοιο.] Ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιήσει τοῦ ἔργου. Πόνοιο.] Τοῦ προκειμένου ἔργου.

572. Μένοντε.] Παραμένοντας, παρεστῶτας.

574. Δειλώ.] Δειλαίους δυϊκῶς. ἀσθενεῖς, ἀθλίους. Βαλέτην.] Ἐνεχείρισαν, ἔθηκαν.

575. Μετὰ πρώτοισιν.] Ἐν τοῖς προμαχομένοις.

576. Ἀτάλαντον.] Ἶσον.

579. Τυχήσας.] Ἐπιτυχών.

581. Ἀτυμνιάδην.] Ἀτυμνίου υἱόν.

584. Ἤλασεν.] Ἔκοψε. Κόρσην.] Κεφαλήν, κρόταφον.

585. Ἀσθμαίνων.] Πνευστιῶν, σφοδρῶς ἀναπνέων. Εὐεργέος.] Εὖ πεποιημένου, καὶ καλῶς κατεσκευασμένου.

Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
Δηθὰ μάλ' ἑστήκει, τύχε γὰρ ψαμάθοιο βαθείης,
Ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι·
Τοὺς δ' ἵμασ' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ' Ἀχαιῶν.
Τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς
Κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
Καρτεραί· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ·
Ἡ μὲν, ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος·
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα·
Φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν.
Τὸν δὲ ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης.
Ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
Στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι,
Ἀφρῷ μορμύροντα ἰδὼν, ἀνά τ' ἔδραμ' ὀπίσσω·
Ὡς τότε Τυδείδης ἀνεχάζετο, εἶπέ τε λαῷ·
Ὦ φίλοι, οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον,
Αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν.
Τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·

586. Κύμβαχος.] Ἐπὶ κεφαλὴν κυβιστῶν. Ἐπὶ βρεχμόν.] Ἐπὶ τὸ βρέγμα τῆς κεφαλῆς.

587. Ἀμάθοιο.] Ἄμαθος, ἡ κατὰ τὸ πεδίον ἄμμος. ψάμμος δὲ ἡ κατὰ τὴν θάλασσαν κόνις.

588. Βάλον.] Κατέβαλον.

589. Ἵμασεν.] Ἐμάστιξεν, ἐδίωξεν.

590. Ἐνόησεν.] Ἐθεάσατο.

591. Κεκληγώς.] Κραυγάζων, βοῶν. Εἵποντο.] Ἠκολούθουν.

592. Ἐνυώ.] Πολεμικὴ θεός.

593. Κυδοιμόν.] Τὴν ταραχὴν, τὸν θόρυβον, ἢ πόλεμον.

594. Ἐνώμα.] Διέφερεν, ἐκίνει, μετέφερε.

595. Φοίτα.] Ἀνεστρέφετο.

597. Ἀπάλαμνος.] Ἀσθενὴς, ἄπειρος, μηδὲν μηχανήσασθαι δυνάμενος. Πολέος.] Πολλοῦ.

598. Ὠκυρόῳ.] Ταχέα ῥεύματα ἔχοντι, ταχέως ῥέοντι. Ἅλαδε προρέοντι.] Εἰς τὴν θάλασσαν ἐμβάλλοντι.

599. Μορμύροντα.] Ὠνοματοπεποίηται ἡ λέξις ἀπὸ τοῦ ψόφου, τοῦ ἐν τοῖς ὕδασι γιγνομένου.

600. Ἀνεχάζετο.] Ἀνεχώρει.

601. Οἷον δή.] Ἀντὶ τοῦ, οἷον ἄρα δή. Θαυμάζομεν.] Ἐκπληττόμεθα.

603. Πάρα.] Πάρεστι.

Καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ἐοικώς.
Ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
Εἴκετε, μηδὲ θεοῖς μενεαινέμεν ἶφι μάχεσθαι.
Ὣς ἄρ' ἔφη· Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
Ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανεν, εἰδότε χάρμης,
Εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέσθην, Ἀγχίαλόν τε.
Τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας·
Στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Καὶ βάλεν Ἄμφιον Σελάγου υἱόν, ὅς ῥ' ἐνὶ Παισῷ
Ναῖε πολυκτήμων, πολυλήϊος· ἀλλά ἑ μοῖρα
Ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας·
Τόν ῥα κατὰ ζωστῆρα βάλεν Τελαμώνιος Αἴας,
Νειαίρῃ δ' ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπέδραμε φαίδιμος Αἴας,
Τεύχεα συλήσων· Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν.
Ὀξέα, παμφανόωντα· σάκος δ' ἀνεδέξατο πολλά.
Αὐτὰρ ὁ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
Ἐσπάσατ'· οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα κα-
Ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι· (λὰ

605. Πρὸς Τρῶας τετραμμένοι.] Τοὺς Τρῶας βλέποντες.

606. Εἴκετε.] Πράως ἀποχωρεῖτε. Μενεαινέμεν.] Προθυμεῖσθαι.

608. Εἰδότε χάρμης.] Ἐπισταμένους μάχεσθαι.

612. Παισῷ.] Παισός, πόλις Τροίας.

613. Πολυκτήμων.] Πολλὰ κτήματα ἔχων. Πολυλήϊος.] Πολλὰ λήϊα ἔχων, ἢ πολλὰ θρέμματα ἔχων, πολυθρέμμων. Λεία δὲ λέγεται καὶ τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας.

614. Ἐπικουρήσοντα.] Βοηθήσοντα.

616. Νειαίρῃ.] Κατωτάτῃ.

617. Δούπησεν.] Ἐψόφησεν.

618. Ἐπέχευαν.] Δαψιλῶς ἔπεμψαν, ἐπέχευαν ἀθρόως. Ἡ μεταφορὰ ἀπὸ τῶν ὑγρῶν ἐξηκόντισαν.

619. Παμφανόωντα.] Λάμποντα. Σάκος.] Ἀσπὶς, ὅπλον. Ἀνεδέξατο.] Ἀνέλαβε.

620. Πρόσβας.] Ἐνθορὼν, ἐμβάς.

621. Ἐσπάσατο.] Ἀνείλκυσεν.

622. Ἐπείγετο.] Κατεποιεῖτο.

623. Ἀμ-

Δεῖσε δ' ὅγ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
Οἵ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες
Οἵ ἑ, μέγαν περ ἐόντα, καὶ ἴφθιμον, καὶ ἀγαυὸν,
Ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη·
Ὡς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην.
Τληπόλεμον δ' Ἡρακλείδην ἠΰν τε, μέγαν τε,
Ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Υἱός θ', υἱωνός τε, Διὸς νεφεληγερέταο,
Τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·
Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
Πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί;
Ψευδόμενοι δέ σε φασὶ Διὸς γόνον αἰγιόχοιο
Εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
Οἳ Διὸς ἐξεγένοντο, ἐπὶ προτέρων ἀνθρώπων·
Ἀλλ' οἷόν τινα φασὶ βίην Ἡρακληείην
Εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα;
Ὅς ποτε δεῦρ' ἐλθὼν, ἕνεχ' ἵππων Λαομέδοντος,
Ἒξ οἴης σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν,

623. Ἀμφίβασιν.] Τὴν ὑπερμάχησιν. συνασπισμόν. ἤ, τὸν περιβάντα τῶν νεκρῶν ὑπέρμαχον. Ἀγερώχων.] Ἄγαν ἐντίμων. ἢ καὶ, ἄγαν ὑβριστῶν.

625. Ἀγαυόν.] Ἐπιφανῆ, ἔνδοξον.

626. Ὦσαν.] Ἀπώσαντο, ἀπέβαλλον. Ἀπὸ σφείων.] Ἀφ' ἑαυτῶν. Χασσάμενος.] Ἀναχωρήσας. Πελεμίχθη.] Διεσείσθη, ἀπεσείσθη, πρὸς τῶν ἐμπεπηγότων τῇ ἀσπίδι δοράτων. Χασσάμενος πελεμίχθη.] Καθ' ὑπαλλαγὴν εἴρηται, ἀντὶ τοῦ, πελεμιχθεὶς ἀνεχάσατο.

627. Πονέοντο.] Ἐνήργουν.

628. Ἡρακλείδην.] Ἡρακλέους παῖδα, Ἠΰν.] Ἀγαθὸν, γενναῖον.

629. Μοῖρα κραταιή.] Ἀπότομος, ἰσχυρά.

631. Υἱωνός.] Υἱὸς υἱοῦ. ἔγγονος.

634. Ἀδαήμονι.] Ἀπείρῳ, ἀμαθεῖ.

635. Γόνον.] Υἱόν.

636. Ἐπιδεύεαι.] Ἐνδεὴς εἶ.

639. Θρασυμέμνονα.] Τολμηρὸν, θρασὺν ἐν τῷ μένειν, ἢ θρασέως ὑπομένοντα ἐν τῇ μάχῃ. Θυμολέοντα.] Λεοντόψυχον, γενναῖον.

641. Οἴης.] Οἴαις, μόναις.

642. Χήρω-

Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.
Σοὶ δὲ κακὸς μὲν θυμὸς, ἀποφθινύθουσι δὲ λαοί·
Οὐδέ τέ σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι,
Ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
Ἀλλ' ὑπ' ἐμοῦ δμηθέντα πύλας αΐδαο περήσειν.
Τὸν δ' αὖ Σαρπηδὼν, Λυκίων ἀγὸς, ἀντίον ηὔδα·
Τληπόλεμ', ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν,
Ἀνέρος ἀφραδίῃσιν ἀγαυοῦ Λαομέδοντος,
Ὅς ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
Οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
Σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν
Ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα
Εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' ἄϊδι κλυτοπώλῳ.
Ὣς φάτο Σαρπηδών· ὁ δ' ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος, καὶ τῶν μὲν ὁμαρτῇ δούρατα μακρὰ
Ἐκ χειρῶν ἤϊξαν· ὁ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδὼν, αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή·
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.
Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
Βεβλήκει· αἰχμὴ δὲ διέσσυτο μαιμώωσα,

642. Χήρωσεν.] Ἐκένωσεν, ἐρήμωσε, ἐρήμους ἐποίησεν, ἐχήρωσεν ἀπὸ τῶν οἰκείων. Ἀγυιάς.] Ὁδούς.

643. Κακός.] Δειλὸς, ἀσθενής. Ἀποφθινύθουσιν.] Ἀποφθείρονται.

644. Ἄλκαρ.] Ἴαμα, ἀλέξημα, βοήθημα.

646. Πύλας αΐδαο περήσειν.] Εἰς ᾅδου κατελθεῖν.

649. Ἀφραδίῃσιν.] Ἀνοίαις.

650. Εὖ ἔρξαντα.] Εὖ ποιήσαντα. Ἠνίπαπεν.] Ἐπέπληξεν.

653. Ἐξ ἐμέθεν τεύξεσθαι.] Ἐξ ἐμοῦ γενήσεσθαι. Δαμέντα.] Δαμασθέντα, φονευθέντα, ἀναιρεθέντα.

654. Εὖχος.] Καύχημα, δόξαν. Κλυτοπώλῳ.] Τῷ ἱππικῷ. ἐνδόξους ἵππους ἔχοντι.

655. Ἀνέσχετο.] Ἀνέτεινε. Μείλινον.] Μελίϊνον, ἐκ μελίνου ξύλου κατεσκευασμένον. Μελία δὲ, εἶδος δένδρου μακροῦ καὶ προμήκους.

656. Ὁμαρτῇ.] Ὁμοῦ καὶ κατ' αὐτὸν χρόνον. Δούρατα ἐκ χειρῶν ἤϊξαν.] Ἄφεσις τῶν δοράτων καὶ συντυχία ἐγένετο.

658. Διαμπερές]. Διαμπὰξ, διόλου. Ἀλγεινή.] Ἀλγεινὴ, ἐπίπονος.

659. Ἐρεβεννή.] Σκοτεινή.

661. Διέσσυτο.] Διῆλθε. Μαιμώωσα.] Ἐνθουσιῶσα, καὶ ὀξέως ὁρμῶσα.

Ὀστέῳ ἐγχριμφθεῖσα, πατὴρ δέ τι λοιγὸν ἄμυνεν.
Οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
Ἐξέφερον πολέμοιο· βάρυνε δέ μιν δόρυ μακρὸν
Ἑλκόμενον· τὸ μὲν οὔτις ἐπεφράσατ', οὐδ' ἐνόησε,
Μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη,
Σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δ' ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐξέφερον πολέμοιο· νόησε δὲ δῖος Ὀδυσσεὺς,
Τλήμονα θυμὸν ἔχων· μαίμησε δέ οἱ φίλον ἦτορ.
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
Ἢ ὅγε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
Οὐδ' ἄρ' Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον ἦεν,
Ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέϊ χαλκῷ.
Τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
Ἔνθ' ὅγε Κοίρανον εἷλεν, Ἀλάστορά τε, Χρόμιόν τε,
Ἄλκανδρόν θ', Ἅλιόν τε, Νοήμονά τε, Πρύτανίν τε.
Καὶ νύ κ' ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεὺς,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε μέγας κορυθαιόλος Ἕκτωρ.
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
Δεῖμα φέρων Δαναοῖσι· χαῖρε δ' ἄρα οἱ προσιόντι

662. Ἐγχριμφθεῖσα.] Ἐμπαγεῖσα, ἐμπελασθεῖσα. Λοιγόν.] Ὄλεθρον. Ἄμυνεν.] Ἀπέστρεψεν, ἀπεκώλυσεν.

665. Ἑλκόμενον.] Ἀπαιωρούμενον. Ἐπεφράσατο.] Ἐνενόησεν, ἐνεθυμήθη.

666. Ἐξερύσαι.] Ἐξελκῦσαι.

670. Τλήμονα.] Εὔτολμον, ὑπομονητικόν. Μαίμησεν.] Ἐταράχθη, ἢ, ἐνεθουσίασε.

671. Μερμήριξεν.] Ἐνενόησε.

672. Προτέρω.] Πορρώτερον, εἰς τοὔμπροσθεν. Διὸς υἱόν.] Σαρπηδόνα. Ἐριγδούποιο.] Μεγαλοήχου, μεγαλοψόφου.

674. Μόρσιμον.] Πεπρωμένον, εἱμαρμένον.

676. Τῷ ῥα.] Διὸ δή. Κατὰ πληθύν.] Εἰς τὸ πλῆθος. Τράπεν.] Ἔτρεψεν, ἔβαλεν.

680. Ὀξὺ νόησε.] Ταχέως ἐνόησεν, ἐθεάσατο.

681. Κεκορυθμένος.] Καθωπλισμένος.

682. Δεῖμα.] Φόβον, εὐλάβειαν. Οἱ προσιόντι.] Αὐτοῦ προσελθόντος.

Σαρπηδὼν, Διὸς υἱὸς, ἔπος δ' ὀλοφυδνὸν ἔειπε·
Πριαμίδη, μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς
Κεῖσθαι· ἀλλ' ἐπάμυνον, ἔπειτά με καὶ λίποι αἰὼν
Ἐν πόλει ὑμετέρῃ· ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε,
Νοστήσας οἶκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
Εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
Ὣς φάτο· τὸν δ' οὔτι προσέφη κορυθαίολος Ἕκτωρ,
Ἀλλὰ παρήϊξεν, λελιημένος, ὄφρα τάχιστα
Ὤσαιτ' Ἀργείους, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
Εἷσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ·
Ἐκ δ' ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦσε θύραζε
Ἴφθιμος Πελάγων, ὅς οἱ φίλος ἦεν ἑταῖρος·
Τὸν δ' ἔλιπε ψυχὴ, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς·
Αὖτις δ' ἐμπνυώθη, περὶ δὲ πνοιὴ Βορέαο
Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.
Ἀργεῖοι δ' ὑπ' Ἄρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ
Οὔτε ποτε προτρέποντο μελαινάων ἐπὶ νηῶν,
Οὔτε ποτ' ἀντεφέροντο μάχῃ· ἀλλ' αἰὲν ὀπίσω

683. Ὀλοφυδνόν.] Οἰκτρὸν, θρηνῶδες.
685. Αἰών.] Ὁ τοῦ ἀνθρώπου βίος.
686. Ἔμελλον.] Ἐῴκειν.
687. Νοστήσας.] Ἀνακομισθείς.
688. Εὐφρανέειν.] Εὐφραίνειν, ἱλαρύνειν.
690. Παρήϊξε.] Παρέδραμε, παρῆλθε. Λελιημένος.] Προθυμέμενος.
691. Ὤσαιτο.] Ἀποδιώξειε.
693. Εἷσαν.] Ἐκάθισαν, καθεσθῆναι ἐποίησαν. Φηγῷ.] Ἥτις δρῦς ἱερὰ Διός.
694. Ὦσεν.] Ἀπεώσατο. Θύραζε.] Κυρίως μὲν, ἔξω τῆς θύρας. Νῦν δὲ κεῖται ἀντὶ τοῦ, ἔξω.
696. Τὸν δ' ἔλιπε ψυχή.] Οὗτος δὲ ἐλειποψύχησεν.
697. Ἀμπνύνθη.] Ἀνέπνευσεν, ἀνέλαβεν ἑαυτόν.
698. Ζώγρει.] Ἀνεζωπύρει, εἰς τὸ ζῆν ἦγεν. Ἐπιπνείουσα.] Ἐπιπνέουσα. Κεκαφηότα.] Ἐκπεπνευκότα. Κάφος γὰρ, τὸ πνεῦμα.
699. Χαλκοκορυστῇ.] Χαλκῷ καθωπλισμένῳ.
700. Προτρέποντο.] Προτροπάδην ἔφευγον. Ἐπὶ νηῶν.] Ἀντὶ τοῦ, ἐπὶ τὰς ναῦς, ὡς τὰς ναῦς.
701. Ἀντεφέροντο.] Ἐξ ἐναντίας ἐφέροντο. Αἰέν.] Διαπαντός.

Χάζονθ', ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν
Ἕκτωρ τε Πριάμοιο πάϊς καὶ χάλκεος Ἄρης;
Ἀντίθεον Τεύθραντ', ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ' αἰχμητὴν Αἰτώλιον, Οἰνόμαόν τε,
Οἰνοπίδην θ' Ἕλενον, καὶ Ὀρέσβιον αἰολομίτρην,
Ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, μέγα πλούτοιο μεμηλὼς,
Λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ οἱ ἄλλοι
Ναῖον Βοιωτοὶ, μάλα πίονα δῆμον ἔχοντες.
Τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
Ἦ ῥ' ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
Εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεὰ, θυγάτηρ μεγάλοιο Κρόνοιο.
Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα,

704. Χάλκεος Ἄρης.] Ἤτοι, ἰσχυρὸς, ἢ πολύχαλκος. διὰ τὸν ὁπλισμόν.

707. Αἰολομίτρην.] Ποικίλην μίτραν ἔχοντα.

708. Ὕλῃ.] Πόλει Βοιωτίας. Μέγα πλούτοιο μεμηλώς.] Πάνυ πεφροντικῶς τοῦ πλούτου. Μεμηλώς.] Μεμεληκώς. ἐπιμέλειαν ἔχων.

709. Κεκλιμένος.] Παρακείμενος, γειτνιῶν, περιεχόμενος. Λίμνῃ Κηφισίδι.] Τῷ Κηφισῷ ποταμῷ.

710. Πίονα.] Εὐδαίμονα.

714. Ἀτρυτώνη.] Ἀκαταπόνητε.

715. Ὑπέστημεν.] Ὑπεσχόμεθα.

718. Μεδώμεθα.] Φροντίσωμεν.

720. Ἔντυεν.] Ἤντυε, καὶ κατεσκεύαζεν.

721. Πρέσβα.] Πρεσβυτάτη, ἔντιμος, σεμνή.

722. Ὀχέεσσιν.] Ὀχήμασιν, ἅρμασιν. Καμπύλα.] Ἐπικαμπῆ. Κύκλα.] Ἰωνικῶς. Κύκλους. τοὺς τροχούς.

Χάλκεα, ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς·
Τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθεν
Χάλκε' ἐπίσσωτρα, προσαρηρότα, θαῦμα ἰδέσθαι·
Πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν·
Δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν
Ἐντέταται· δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι·
Τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλεν· αὐτὰρ ἐπ' ἄκρῳ
Δῆσε χρύσειον καλὸν ζυγὸν, ἐν δὲ λέπαδνα
Κάλ' ἔβαλε, χρύσει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
Ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος καὶ αὐτῆς.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει
Ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσίν·
Ἡ δὲ, χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο,
Τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.

723. Ὀκτάκνημα.] Ὀκτώραβδα, ὀκτὼ κνήμας ἔχοντα. Ἄξονι.] Ἄξων, ὁ εἰς τὰς χοινικίδας ἐμβαλλόμενος ἑκατέρου τροχοῦ. Ἀμφίς.] Νῦν ἀντὶ τοῦ ἑκατέρωθεν.

724. Ἴτυς.] Ἡ περιφέρεια τοῦ ὀχήματος. σῶτρόν, ἢ σῶτρον. ἁψῖδες δὲ, ἐξ ὧν ἡ περιφέρεια γίγνεται τοῦ τροχοῦ. ἡ ἁψὶς, εἰς ἣν αἱ κνῆμαι ἀπὸ τῆς χοινικίδος ἐμπήγνυνται.

725. Ἐπίσσωτρα.] Ἐπίσωτρα. Τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ, ἃ καὶ κανθοὶ καλοῦνται. ὁ ἔξωθεν τὸν τροχὸν κατέχων σίδηρος, οἱ σιδηροῖ ἢ χαλκοῖ κυκλοὶ τῶν τροχῶν. Προσαρηρότα.] Προσηρμοσμένα.

726. Πλῆμναι.] Αἱ χοινικίδες τῶν τροχῶν, χνόαι δι' ὧν ὁ ἄξων στρέφεται. Περίδρομοι.] Στρογγύλαι, περιφερεῖς.

728. Ἄντυγες.] Αἱ περιφέρειαι τοῦ ἅρματος αἱ περιπεπηγυῖαι. τὰ ἐπὶ τοῦ δίφρου ἡμικύκλια, ὅθεν καὶ τὰ ἡνία ἐξάπτονται. αἱ περιφέρειαι τοῦ ἁρματίου δίφρου. Ὁμοίως δὲ καὶ ἡ τῆς ἀσπίδος περιφέρεια, ἄντυξ καλεῖται.

729. Ῥυμός.] Τὸ μέσον τῶν ἵππων ξύλον, ᾧ συνδέδεται ὁ ζυγός. Ῥυμὸς, ὁ προσηρτημένος τῷ ζυγῷ κανὼν, εἰς ὀξὺ λῆγον ξύλον. Πέλεν.] Ἦν, ὑπῆρχε.

730. Ζυγόν.] Τὸ ἐπὶ τιθέμενον ξύλον τοῖς τραχήλοις τῶν ἵππων. Λέπαδνα.] Τὰ περὶ τὰ στήθη τῶν ἵππων. οἱ ἱμάντες.

734. Πέπλον.] Γυναικεῖον ἔνδυμα. Τοῦτ' ἔστι, χιτὼν, ὃν οὐκ ἐνεδύοντο, ἀλλ' ἐνεπερονῶντο. Κατέχευε.] Καταχαθῆναι ἐποίησε, τὰς περόνας λυσαμένη. Ἐπ' οὔδει.] Ἐπὶ τὸ ἔδαφος.

737. Δακρυόεντα.] Δακρύων παραίτιον. 738. Θυσ-

Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' αἰγίδα θυσσανόεσσαν,
Δεινήν, ἣν περὶ μὲν πάντῃ Φόβος ἐστεφάνωτο·
Ἐν δ' Ἔρις, ἐν δ' Ἀλκή, ἐν δὲ κρυόεσσα Ἰωκή·
Ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
Δεινή τε, σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο.
Κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον,
Χρυσείην, ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν.
Ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο· λάζετο δ' ἔγχος
Βριθύ, μέγα, στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους.
Αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
Τῇς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε,
Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.
Τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους·

738. Θυσσανόεσσαν.] Θυσάνους εἴτε κορύμβους καὶ κροσσοὺς ἐχούσαν πανταχοῦ.

739. Ἐστεφάνωτο.] Κύκλῳ περιέκειτο.

740. Κρυόεσσα.] Φρικτή. Ἰωκή.] Δίωξις.

741. Γοργείη κεφαλή.] Εἰκὼν Μεδούσης Γοργοῦς. τοῦτ' ἔστι, κατάπληξις, καὶ φόβος. Δεινοῖο πελώρου.] Μεγάλου τέρατος.

742. Σμερδνή.] Καταπληκτική, φοβερά.

743. Ἀμφίφαλον.] Φαλοὺς περὶ αὐτὴν ἔχουσαν. φαλοὶ δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι. Τετραφάληρον.] Τέσσαρας φαλοὺς ἔχουσαν.

744. Ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν.] Πολλῶν πόλεων, πολλοῖς ὄχλοις, ἁρμόσαι δυναμένην. Πρυλέεσσι.] Πεζοῖς ὁπλίταις.

745. Φλόγεα.] Λαμπρά, ἢ διάπυρα.

746. Βριθύ.] Βαρύ, καὶ καταπληκτικόν. Στιβαρόν.] Ἰσχυρόν. Δάμνησι] Δαμάζει, ἀναιρεῖ, ὑποτάσσεται.

747. Κοτέσσεται.] Ὀργισθήσεται. Ὀβριμοπάτρη.] Ὄβριμον καὶ ἰσχυρὸν πατέρα ἔχουσα.

748. Ἐπεμαίετο.] Ἐφήπτετο ἐπέψαυεν, ἐπεθύμει.

749. Αὐτόμαται.] Ἀφ' ἑαυτῶν. Μύκον.] Ἤχησαν. Ἔχον.] Νῦν ἀντὶ τοῦ, ἐφύλασσον.

750. Ἐπιτέτραπται.] Ἐγκεχείρισται, ἢ ἐξουσία δέδοται.

751. Ἀνακλῖναι.] Διαστεῖλαι, ἀναζυγῶσαι, ἀναστεῖλαι. Ἐπιθεῖναι.] Ἐπικλῖναι, ἐπιπτύξαι.

752. Κεντρηνεκέας.] Τοὺς τοῖς κέντροις, ὅ ἐστι, μάστιξι, κεντρουμένους. Ἔχον.] Ἤλαυνον.

Εὗρον δὲ Κρονίωνα, θεῶν ἄτερ ἥμενον ἄλλων,
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
Ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν ὕπατον Κρονίδην ἐξήρετο, καὶ προσέειπε·
Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα,
Ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
Μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον; ἐμοὶ δ' ἄχος· οἱ δὲ ἕκηλοι
Τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,
Ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔτινα οἶδε θέμιστα.
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, αἴκεν Ἄρηα
Λυγρῶς πεπληγυῖα μάχης ἐξαποδίωμαι;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα (Ζεύς·
Ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην,
Ἥ ἑ μάλιστ' εἴωθε κακῇς ὀδύνῃσι πελάζειν.
Ὡς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Μάστιξεν δ' ἵππους· τὼ δ' οὐκ ἄκοντε πετέσθην
Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
Ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον,
Τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.
Ἀλλ' ὅτε δὴ Τροίην ἷξον, ποταμώ τε ῥέοντε,

756. Ὕπατον.] Βασιλέα, ἡγεμόνα. Ἐξήρετο.] Ἐπηρώτα, ἐξηρώτα.

758. Ὁσσάτιον.] Ὅσον.

759. Οὐ κατὰ κόσμον.] Οὐ κατὰ τὸ προσῆκον. Ἕκηλοι.] Ἥσυχοι.

760. Τέρπονται.] Ἥδονται.

761. Ἄφρονα.] Ἀνόητον. ἀσύνετον. Ἀνέντες.] Ἀναπείσαντες. Θέμιστα.] Δικαιοσύνην.

763. Πεπληγυῖα.] Πλήξασα. Ἐξαποδίωμαι.] Ἀποδιώξω, ἐλάσω.

765. Ἄγρει μάν.] Ἄγε δή.

766. Πελάζειν] Προσπελάζειν.

769. Μεσσηγύς.] Ἀνὰ μέσον.

770. Ἠεροειδές.] Ἀναπεπταμένως τοῦ μεταξὺ ἀέρος. καὶ μηδενὸς ἐμποδίζοντος. ἢ ἀερῶδες.

771. Ἥμενος.] Καθιζόμενος. Σκοπιῇ.] Τόπῳ ὑψηλῷ καὶ ἀποσκόπῳ. Λεύσσων.] Βλέπων.

772. Ἐπιθρώσκουσιν.] Ἐπιπηδῶσιν. Ὑψηχέες.] Ὧν ὁ ἦχος εἰς ὕψος ἀνέρχεται.

773. Ἷξον.] Παρεγένοντο.

Ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
Ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη,
Λύσασ' ἐξ ὀχέων· περὶ δ' ἠέρα πουλὺν ἔχευε.
Τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
Αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι,
Ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι.
Ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθι πλεῖστοι καὶ ἄριστοι
Ἔστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
Εἰλόμενοι, λείουσιν ἐοικότες ὠμοφάγοισιν,
Ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν·
Ἔνθα στᾶσ' ἤϋσε θεὰ λευκώλενος Ἥρη,
Στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ,
Ὃς τόσον αὐδήσασκ', ὅσον ἄλλοι πεντήκοντα·
Αἰδὼς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί·
Ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεὺς,
Οὐδέποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
Οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
Νῦν δὲ ἑκάθεν πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται.
Ὣς εἰποῦσ', ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.

774. Ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.] Ὅπου τὰ ῥεύματα ὁ Σιμόεις καὶ ὁ Σκάμανδρος συμβάλλουσιν.

777. Ἀμβροσίην.] Τὴν τῶν θεῶν τροφήν. Ἤ, πόαν τινὰ, νῦν, ἣν οἱ τῶν θεῶν ἵπποι ἐσθίουσιν. Ἀνέτειλεν.] Ἀνέσχεν, ἀνεφύησεν, ἀνέδωκε. Νέμεσθαι.] Ἐσθίειν.

778. Τρήρωσι.] Δειλαῖς. ἐπιθετικῶς. Παρὰ τὸ τρεῖν. Δειλὸν γὰρ τὸ ζῶον. Τὸ γὰρ τρεῖν, σημαίνει τὸ φοβεῖσθαι. Πελειάσι.] Περιστεραῖς. Ἴθματα.] Ἴχνη, βήματα, ὁρμήματα.

779. Ἀλεξέμεναι.] Βοηθεῖν.

782. Εἰλόμενοι.] Εἰλούμενοι, συναθροιζόμενοι, κατὰ τὴν μάχην συνηλιγμένοι.

783. Ἀλαπαδνόν.] Ἀσθενές.

784. Ἤϋσεν.] Ἐφώνησε.

785. Εἰσαμένη.] Εἰκασθεῖσα, ὁμοιωθεῖσα. Χαλκεοφώνῳ.] Ἀντὶ τοῦ, εὐφώνῳ. μεγαλοφώνῳ.

786. Αὐδήσασκεν.] Ἐφώνει. ἐβόα.

787. Αἰδώς.] Αἰσχύνη, ὄνειδος. Κάκ' ἐλέγχεα.] Ἐπονείδιστοι λῶβαι. φαῦλα ὀνείδη. Εἶδος ἀγητοί.] Εὐμορφίᾳ θαυμαστοί.

788. Πωλέσκετο.] Ἐφοίτα, ἀνεστρέφετο.

790. Οἴχνεσκον.] Ἐπορεύοντο, προσῄεσαν. Ἐδείδισαν.] Ἐφοβοῦντο.

795. Ἀνα-

Τυδείδῃ δ' ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη·
Εὗρε δὲ τόν γε ἄνακτα παρ' ἵπποισιν καὶ ὄχεσφιν
Ἕλκος ἀναψύχοντα, τό μιν βάλε Πάνδαρος ἰῷ·
Ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος
Ἀσπίδος εὐκύκλου· τῷ τείρετο, κάμνε δὲ χεῖρα·
Ἂν δ' ἴσχων τελαμῶνα, κελαινεφὲς αἷμ' ἀπεμόργνυ·
Ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο, φώνησέν τε·
Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς·
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.
Καί ῥ' ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον,
Οὐδ' ἐκπαιφάσσειν, ὅτε τ' ἤλυθε νόσφιν Ἀχαιῶν
Ἄγγελος ἐς Θήβας, πολέας μετὰ Καδμείωνας·
Δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον.
Αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερὸν, ὡς τὸ πάρος περ,
Κούρους Καδμείων προκαλίζετο· πάντα δ' ἐνίκα
Ῥηϊδίως· τοίη οἱ ἐγὼν ἐπιτάῤῥοθος ἦα.
Σοὶ δ' ἤτοι μὲν ἐγὼ παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω,
Καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι·
Ἀλλά σευ ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν,
Ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ' ἔπειτα

795. Ἀναψύχοντα.] Καταπνεόμενον.

796. Ἔτειρεν.] Κατεπόνει. Τελαμῶνος.] Τοῦ ἀναφορέως.

798. Ἂν δ' ἴσχων.] Ἀνέχων καὶ ἀνατείνων. ὅπερ ἐστὶν, ἄνω ἔχων, καὶ μετεωρίζων. Κελαινεφές.] Μέλαν. παραγώγως. Οὐ γὰρ εἶχε τὸ νέφος. Ἀπεμόργνυ.] Ἀπέψα, ἀπέμασσεν.

800. Ὀλίγον.] Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον, οὐδὲ ὅλως. Οἱ ἐοικότα.] Ἑαυτῷ ὅμοιον. Γείνατο.] Ἐγέννησεν.

802. Εἴασκον.] Εἴων.

803. Ἐκπαιφάσσειν.] Ἐνθουσιᾷν.

804. Ἄγγελος.] Πρέσβυς.

805. Δαίνυσθαι.] Εὐωχεῖσθαι. Ἕκηλον.] Ἥσυχον.

807. Προκαλίζετο.] Προεκαλεῖτο.

808. Ἐπιτάῤῥοθος.] Βοηθός. Ἦα.] Ἦν, ὑπῆρχον.

810. Προφρονέως.] Προθύμως. Κέλομαι.] Κελεύω.

811. Πολυάϊξ.] Πολυόρμητος. Δέδυκεν.] Ὑπεισῆλθεν, ἐκρύβη.

812. Ἀκήριον.] Ἀψυχοποιὸν, εἰς ἀψυχίαν ἄγον.

813. Ἐκ-

Τυδέος ἔκγονός ἐστι, δαΐφρονος Οἰνείδαο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·
Γινώσκω σε, θεά, θύγατερ Διὸς αἰγιόχοιο,
Τῷ τοι προφρονέως ἐρέω ἔπος, οὐδ' ἐπικεύσω·
Οὔτε τί με δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνος·
Ἀλλ' ἔτι σῶν μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας.
Οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι
Τοῖς ἄλλοις· ἀτὰρ εἴ κε, Διὸς θυγάτηρ, Ἀφροδίτη
Ἔλθῃσ' ἐς πόλεμον, τήνγ' οὐτάμεν ὀξέϊ χαλκῷ.
Τοὔνεκα νῦν αὐτός τ' ἀναχάζομαι, ἠδὲ καὶ ἄλλους
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας·
Γινώσκω γὰρ Ἄρηα μάχην ἀνακοιρανέοντα.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
Τυδείδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
Μήτε σύγ' Ἄρηα τόνδε τι δείδιθι, μήτε τιν' ἄλλον
Ἀθανάτων· τοίη τοι ἐγὼν ἐπιτάῤῥοθός εἰμι.
Ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους·
Τύψον δὲ σχεδίην, μηδ' ἅζεο θοῦρον Ἄρηα
Τοῦτον μαινόμενον, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον·
Ὃς πρώην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων,
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν·
Νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται.

813. Ἔκγονος.] Παῖς, υἱὸς, ἤγουν ἀπόγονος. Ἐστί.] Ὑπάρχεις. Οἰνείδαο.] Πατρωνυμικῶς, τοῦ Τυδέως.

816. Ἐπικεύσω.] Ἐπικρύψομαι.

818. Ἐφετμέων.] Ἐντολῶν.

819. Οὔ μ' εἴας.] Οὐ συνεχώρεις μοι.

820. Ἀτὰρ εἴ κεν.] Ἐὰν δέ.

823. Ἀλήμεναι.] Ἀθροισθῆναι, συστραφῆναι.

824. Ἀνακοιρανέοντα.] Διατάσσοντα. διέποντα.

827. Δείδιθι.] Φοβοῦ.

830. Σχεδίην.] Ἐκ τοῦ σύνεγγυς. Ἅζεο.] φοβοῦ, σέβου.

831. Τυκτόν.] Κατασκευαστόν. Ἀλλοπρόσαλλον.] Ἄλλοτε ἄλλῳ φίλον.

832. Στεῦτο.] Ἐβεβαιοῦτο, διωρίζετο.

834. Ὁμίλει.] Ἀναστρέφεται, μάχεται. Λέλασται.] Ἐπιλέλησται.

836. Πά-

Ὣς φαμένη, Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,
Χειρὶ πάλιν ἐρύσασ'. ὁ δ' ἄρ' ἐμμαπέως ἀπόρουσε·
Ἡ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
Ἐμμεμαυῖα θεά· μέγα δ' ἔβραχε φήγινος ἄξων
Βριθοσύνῃ· δεινὴν γὰρ ἄγεν θεὸν, ἄνδρα τ' ἄριστον.
Λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη·
Αὐτίκ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριζεν,
Αἰτωλῶν ὄχ' ἄριστον, Ὀχησίου ἀγλαὸν υἱόν·
Τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος· αὐτὰρ Ἀθήνη
Δῦν' Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον,
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασε
Κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν·
Αὐτὰρ ὁ βῆ ῥ' ἰθὺς Διομήδεος ἱπποδάμοιο.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Πρόσθεν Ἄρης ὠρέξαθ' ὑπὲρ ζυγὸν, ἡνία θ' ἵππων,
Ἔγχεϊ χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ὀλέσσαι·
Καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
Ὦσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.
Δεύτερος αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
Ἔγχεϊ χαλκείῳ· ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη

836. Πάλιν.] Νῦν ἀντὶ τοῦ εἰς τοὐπίσω. Ἐρύσασα.] Ἑλκύσασα. Ἐμμαπέως.] Ἅμα τῷ ἔπει. ἐνεργῶς. ταχέως, ἑτοίμως, προθύμως, σπουδαίως, μετὰ σπουδῆς.

837. Ἔβραχεν.] Ἤχησε. Φήγινος.] Δρύϊνος.

839. Βριθοσύνῃ.] Βαρύτητι, τῷ βάρει.

840. Λάζετο.] Ἐλάμβανε.

845. Δῦν'.] Ἔδυσε, ἐνεδύσατο. Ἄϊδος κυνέην.] Νέφος τι, καὶ ἀορασίαν. Ἤ, ἀντὶ τοῦ, τὸ πρόσωπον ἔκρυψεν ὑπὸ τὴν περικεφαλαίαν.

847. Ἔασε.] Κατέθετο, ἀφῆκεν.

848. Ἐξαίνυτο.] Ἐξείλκυσεν.

849. Ἰθύς.] Ἐκ τῆς εὐθείας. ἐπ' εὐθείας.

851. Ὠρέξατο.] Ἐπέτεινε.

852. Μεμαώς.] Προθυμούμενος.

854. Ἐτώσιον.] Ἄλλον, μάταιον. Ἀϊχθῆναι.] Ὁρμηθῆναι.

856. Ἐπέρεισεν.] Ἐπήρεισεν, ἐπεστήριξε.

857. Νεί-

Νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην.
Τῇ ῥά μιν οὖτα τυχὼν, διὰ δὲ χρόα καλὸν ἔδαψεν·
Ἐκ δὲ δόρυ σπάσεν αὖτις· ὁ δ' ἔβραχε χάλκεος Ἄρης,
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος.
Τοὺς δ' ἄρ' ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε, Τρῶάς τε,
Δείσαντας· τόσον ἔβραχ' Ἄρης, ἆτος πολέμοιο.
Οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ,
Καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο·
Τοῖος Τυδείδῃ Διομήδεϊ χάλκεος Ἄρης
Φαίνεθ', ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
Καρπαλίμως δ' ἵκανε θεῶν ἕδος αἰπὺν Ὄλυμπον·
Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο, θυμὸν ἀχεύων,
Δεῖξεν δ' ἄμβροτον αἷμα, καταῤῥέον ἐξ ὠτειλῆς,
Καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
Ζεῦ πάτερ, οὐ νεμεσίζῃ, ὁρῶν τάδε καρτερὰ ἔργα;
Αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν,
Ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεσσι φέροντες.
Σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην
Οὐλομένην, ᾗτ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν.

857. Νείατον.] Ἔσχατον. Κενεῶνα.] Κενεὼν ἐστι τόπος κενὸς ὀστέου. ἡ λαπάρα. ἡ καὶ λαγὼν λέγεται.

858. Ἔδαψε·] Διῆλθε, διέκοψεν, ἔτεμεν.

860. Ἐννεάχιλοι.] Ἐννάκις χίλιοι. Δεκάχιλοι.] Μύριοι.

863. Ἆτος.] Ἀκόρεστος.

864. Οἵη.] Ὁποία. Ἐρεβεννή.] Σκοτεινή.

865. Καύματος ἐξ ἀνέμοιο.] Ὅταν ὑπὸ καύματος ὄρνυται ἄνεμος. Δυσαέος.] Χαλεπῶς πνέοντος, δυσπνόου. Ὀρνυμένοιο.] Διεγειρομένου.

868. Ἕδος.] Ἕδρασμα.

869. Ἀχεύων.] Λυπούμενος.

870. Ἐξ ὠτειλῆς·] Ἐκ τοῦ τραύματος.

871. Ὀλοφυρόμενος.] Οἰκτιζόμενος.

872. Νεμεσίζῃ.] Μέμφῃ.

873. Ῥίγιστα.] Φρικτά. Τετληότες.] Ὑπομεμενηκότες. Εἰμέν.] Ἐσμέν.

874. Ἰότητι.] Γνώμῃ, βουλήσει. Χάριν δ' ἄνδρεσσι φέροντες.] Ἀντὶ τοῦ, ἀνθρώποις χαριζόμενοι.

875. Σοὶ μαχόμεσθα.] Σοῦ χάριν, φησὶν, εἰς μάχην καθιστάμεθα. Ἄφρονα.] Ἀνόητον, ἀσύνετον.

876. Ἀήσυλα.] Ἄδικα, ἁμαρτωλὰ, τὰ μὴ πρέποντα, ἢ, μὴ εὐφραίνοντα.

Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος·
Ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι, οὔτε τι ἔργῳ,
Ἀλλ' ἀνίεις, ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον·
Ἣ νῦν Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
Μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ·
Αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο, δαίμονι ἶσος·
Ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες· ἦτέ κε δηρὸν
Αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν,
Ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη νεφεληγερέτα (Ζεύς·
Μήτι μοι, Ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε·
Ἔχθιστος δέ μοι ἐσσὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε·
Μητρός τοι μένος ἐστὶν ἀνάσχετον, οὐκ ἐπιεικτὸν,
Ἥρης· τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ' ἐπέεσσιν,
Τῷ σ' ὀΐω κείνης τάδε πάσχειν ἐννεσίῃσιν.
Ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα·
Ἐκ γὰρ ἐμεῦ γένος ἐσσὶ, ἐμοὶ δέ σε γείνατο μήτηρ·

878. Δεδμήμεσθα] Ὑποτετάγμεθα.
879. Προτιβάλλεαι] Ἐπιστρέφεις, σωφρονίζεις, ἐπιπλήσσεις.
880. Ἀνίεις.] Ἀφίεις. Ἐγείναο.] Ἐγέννησας. Παῖδ' ἀΐδηλον.] Ἐπιβλαβῆ, ἀδηλοποιὸν, ἢ ἀφανῆ γενησομένην.
882. Μαργαίνειν.] Μαίνεσθαι, ἐνθουσιᾶν, ἀκρατῶς ὁρμᾶν.
885. Ὑπήνεικαν.] Ἐξήγαγον. Δηρόν.] Ἐπὶ πολὺν χρόνον.
886. Νεκάδεσσι.] Ταῖς τῶν νεκρῶν τάξεσιν.
887. Ἢ κεν ζώς.] Ἦν ζῶν ἄν. Ζώς.] Ζῶν. Ζωὸς, ἡ γενικὴ Ζωοῦ. Ἀπὸ γὰρ τοῦ Ζωός ἐστιν ἡ συναίρεσις. Ἀμενηνός.] Ἀσθενὴς, οὐκ ἔχων μένος. Τυπῇσι.] Τραύμασι, πληγαῖς, τρώσεσι.
889. Μινύριζε.] Θρήνει, εἴτ' οὖν, ἀποδύρου, ἢ ἠρέμα θρήνει.
892. Ἀάσχετον.] Ἀνυπομόνητον, ὃ οὐχ οἷόν τε ἐπισχεθῆναι. Οὐκ ἐπιεικτόν.] Οὐκ εὐκατάπληκτον, οὐχ ὑποχωρητικὸν, οὐκ εὐένδοτον.
893. Δάμνημι.] Δαμάζω.
894. Ἐννεσίῃσι.] Βουλήσεσι, βουλαῖς, ἐννοίαις.

897. Εἰ

Εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀΐδηλος,
Καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων.
Ὣς φάτο, καὶ Παιήον' ἀνώγει ἰήσασθαι·
Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων,
Ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.
Ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν,
Ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιστρέφεται κυκόωντι·
Ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.
Τὸν δ' Ἥβη λοῦσεν, χαρίεντα δὲ εἵματα ἕσσε·
Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο κύδεϊ γαίων.
Αἱ δ' αὖθις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο
Ἥρη τ' Ἀργείη καὶ ἀλαλκομενηῒς Ἀθήνη,
Παύσασαι βροτολοιγὸν Ἄρην ἀνδροκτασιάων.

897. Εἰ δέ τευ.] Εἰ δέ τινος. Γένευ.] Ἐγένου. Ἀΐδηλος.] Ἀφανιστικός.

898. Ἐνέρτερος.] Κατώτερος. Οὐρανιώνων.] Τῶν Τιτάνων, νῦν.

899. Ἰήσασθαι.] Ἰάσασθαι, θεραπεῦσαι.

900. Παιήων.] Ἰατρὸς θεῶν. Ὀδυνήφατα] Τὰ τὰς ὀδύνας φθείροντα καὶ παύοντα.

902. Ὀπός.] Τὸ γαλακτῶδες τῆς συκῆς. Ἐπειγόμενος.] Ταρασσόμενος.

903. Κυκόωντι.] Κινοῦντι, ταράσσοντι.

905. Ἕσσε.] Περιέβαλεν, ἠμφίασε.

906. Κύδεϊ γαίων.] Τῇ δόξῃ γαυριῶν.

908. Ἀλαλκομενηΐς.] Κατὰ δύναμιν βοηθοῦσα.

909. Ἀνδροκτασιάων.] Ἀνδροφονιῶν, ἀνδρῶν ἀναιρέσεων.

ΤΗΣ

ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ, ἢ ΓΡΑΜΜΑ, Ι'.

Ἐξεσίη δ' Ἀχιλῆος ἀπειθέος ἐςὶν Ἰῶτα.

ΩΣ οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
Θεσπεσίη ἔχε Φύσα, Φόβου κρυόεντος ἑταίρη·
Πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄρισοι.
Ὡς δ' ἄνεμοι δύο Πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον,
Ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
Κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν·

1. Φυλακὰς ἔχον] Οἱ μὲν Τρῶες τὰς φυλακὰς εἶχον, ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτός. οἱ δὲ Ἕλληνες εἴχοντο ὑπὸ τοῦ δέους.

2. Θεσπεσίη.] Θεία, πολλή. Ἔχε.] Εἶχεν, ἐκράτει. Φύσα] Ἡ μετὰ δέους φυγή. Κρυόεντος.] Φρικτοῦ, φοβεροῦ. Σημαίνει γὰρ, τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας. Ἑταίρη.] Συνεργὸς, φίλη.

3. Ατλήτῳ.] Ἀνυπομονήτῳ, ἀφορήτῳ. Βεβολήατο.] Τὴν ψυχὴν τετρωμένοι ἦσαν. ἐλυποῦντο.

4. Ὀρίνετον.] Ταράσσουσι. Δυϊκῶς.

5. Τώ τε Θρήκηθεν ἄητον.] Οἵτινες ἀπὸ Θρᾴκης πνέουσιν.

6. Ἄμυδις.] Ὁμοῦ, ἐξαίφνης. Κελαινόν.] Μέλαν.

7. Κορθύεται.] Κορυφοῦται, αὔξεται. Παρὲξ ἅλα.] Ἔξω παρὰ τὴν θάλασσαν. Φῦκος.] Τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. Οἱ δὲ φυκία φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γιγνομένην. Ἔχευαν.] Ἔξω ἔβαλον.

8. Εδα-

Ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Ἀτρείδης δ' ἄχεϊ μεγάλῳ βεβλημένος ἦτορ,
Φοίτα, κηρύκεσσι λιγυφθόγγοισι κελεύων,
Κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
Μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
Ἶσον δ' εἰν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων
Ἵστατο δακρυχέων, ὥστε κρήνη μελάνυδρος,
Ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
Ὣς ὁ βαρυστενάχων ἔπε' Ἀργείοισι μετηύδα·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ·
Σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν,
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι·
Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
Δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
Ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
Ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,

8. Ἐδαΐζετο.] Ἐταράσσετο, διεκόπτετο.

9. Ἄχεϊ μεγάλῳ.] Μεγάλῃ λύπῃ. Βεβλημένος ἦτορ.] Ὥσπερ τὴν ψυχὴν βεβλημένος, καὶ ἐκπεπληγμένος.

10. Φοίτα.] Παρεγίγνετο, περιῄει.

11. Κλήδην.] Καλοῦντας, κηρύσσοντας.

12. Μηδὲ βοᾶν.] Μηδὲ βοῶντας. Νυκτὸς γὰρ οὔσης, καὶ πλησίον ὄντων τῶν πολεμίων, οὐ πάντας καλεῖ, οὐ βοᾷ, κλήδην δὲ κικλήσκει, ἵνα μή τις ταραχὴ γένηται. Πονεῖτο.] Ἐνήργει.

14. Μελάνυδρος.] Πολύυδρος. Ἢ βαθεῖα. τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος.

15. Αἰγίλιπος.] Ὑψηλῆς. ἣν ἂν καὶ αἲξ ἀπολίπῃ διὰ τὸ ἄγαν ὑψηλὸν καὶ δύσβατον. Δνοφερόν.] Μέλαν.

18. Ἐνέδησεν.] Ἐνέβαλε.

Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
Ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
Ἣ θέμις ἐστὶν, ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
Ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες·
Σοὶ δὲ διάνδιχα δῶκε Κρόνου παῖς ἀγκυλομήτεω·
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Ἀλκὴν δ' οὔτοι δῶκεν, ὅ,τε κράτος ἐστὶ μέγιστον.
Δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται, ὥστε νέεσθαι,
Ἔρχεο· πάρ τοι ὁδὸς, νῆες δέ τοι ἄγχι θαλάσσης
Ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί·
Ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοὶ,
Εἰσόκε περ Τροίην διαπέρσομεν· εἰ δὲ καὶ αὐτοὶ,

30. Δήν.] Πολλῷ χρόνῳ, ἐπιπολύ. Ἄνεῳ] Ἄφωνοι, ἥσυχοι. Τετιηότες.] Τετιμωρημένοι, λυπούμενοι.

32. Σοὶ πρῶτα μαχήσομαι.] Ἀντὶ τοῦ, τῷ λόγῳ σου. Ἀφραδέοντι.] Ἀσυνετοῦντι.

33. Ἣ θέμις ἐστὶν, ἄναξ, ἀγορῇ.] Ὡς νόμος ἐστὶν ἐν ἐκκλησίαις τὸν βουλόμενον λέγειν ἀκωλύτως, ὥσπερ ἐν δημοκρατείᾳ.

34. Ἀλκὴν μέν μοι πρῶτος ὀνείδισας ἐν Δαναοῖσι.] Ἰσχύν μοι πρῶτος ὠνείδισας ἐν τοῖς Ἕλλησιν ὡς ἀνάνδρου.

35. Φάς.] Φήσας, εἰπών. Ἀπτόλεμον.] Ἄπειρον πολέμου, ἄμαχον.

36. Ἠμὲν νέοι ἠδὲ γέροντες.] Γέροντας εἶπε, διὰ τὸν Νέστορα, ἐπεὶ μικρῷ πρότερον αὐτὸν ἐσεσώκει ἐν τῷ πολέμῳ.

37. Διάνδιχα δῶκε.] Τοῖν δυοῖν ἕτερον ἔδωκε.

38. Περὶ πάντων.] Ὑπὲρ πάντας. περισσῶς, πάνυ.

39. Ὅ, τε κράτος ἐστὶ μέγιστον.] Ὃ κράτιστόν ἐστιν.

41. Ὡς ἀγορεύεις.] Ὡς λέγεις.

42. Ἐπέσσυται.] Ἐφορμᾷ.

43. Πάρ τοι ὁδός.] Πάρεστί σοι τὰ πρὸς τὴν ὁδὸν ἡτοιμασμένα, εἰ βούλει ἀπαλλάττεσθαι. Νῆες δέ τοι ἄγχι θαλάσσης.] Αἱ δὲ νῆές σου ἐγγὺς τῆς θαλάσσης εἰσί. Διὰ δὲ τοῦ πλήθους τῶν νεῶν δειλίαν αὐτοῦ κατηγορεῖ.

46. Εἰ δὲ καὶ αὐτοὶ φευγόντων.] Προσληπτέον δὲ τὸ, βούλονται, ἵν' ᾖ,

ἐὰν

Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ', εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·
Τυδείδη, πέρι μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
Καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος.
Οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
Οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
Ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ παῖς εἴης
Ὁπλότερος γενεῆφιν, ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ἄγ', ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
Ἐξείπω, καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
Μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος.

ἐὰν δὲ καὶ αὐτοὶ βούλονται, φευγέτωσαν, ἔστωσαν τῶν φευγόντων.

51. Ἀγασσάμενοι.] Θαυμάσαντες.

54. Ὁμήλικας.] Συνήλικας. τῆς αὐτῆς ἡλικίας. Ἔπλευ.] Ἐγένου.

55. Οὔτις τοι τὸν μῦθον ὀνόσσεται.] Οὐδεὶς ἄν σου τὸν λόγον ἐκφαυλίσῃ, καὶ μέμψεται.

56. Οὐδὲ πάλιν ἐρέει.] Οὐδὲ τὰ ἐναντία σοι ἐρεῖ. Ἀτὰρ οὐ τέλος ἵκεο μύθων.] Οὐ μὴν τέλος ἐπέθηκας τῷ λόγῳ σου.

57. Ἦ μὴν καὶ νέος ἐσσί.] Νέος μὲν δὴ ὑπάρχεις. Ἐμὸς δέ κε καὶ παῖς εἴης Ὁπλότερος γενεῆφιν.] Ἐμὸς δ' ἂν καὶ παῖς νομισθείης, καὶ τῶν παίδων μου ὁ νεώτατος.

58. Ἀτάρ.] Καὶ δή. Πεπνυμένα βάζεις Ἀργείων βασιλῆας.] Συνετῶς δὲ λέγεις παρὰ πάντας τοὺς βασιλεῖς τῶν Ἑλλήνων.

60. Γεραίτερος.] Παλαιότερος, πρεσβύτερος.

61. Διίξομαι.] Διελεύσομαι, πληρώσω.

63. Ἀφρήτωρ.] Ὁ φρατρίαν καὶ συγγένειαν μὴ ἔχων. Φρατρία δὲ κυρίως ἐστὶ, τρίτον μέρος τῆς φυλῆς. Ἀθέμιστος.] Ἄδικος ἄνθρωπος.

64. Ὃς πολέμου ἔραται.] Ὅστις πολέμου ἐρᾷ. Ἐπιδημίου.] Τοῦ ἐμφυλίου, τοῦ μὴ πρὸς πολεμίους, ἀλλὰ πρὸς οἰκείους γιγνομένου. Λέγει δὲ τοῦτο, αἰνιττόμενος τὸν Ἀχιλλέα.

Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι·
Δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔτοι ἀεικές.
Πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
Ἠμάτιαι Θρήκηθεν ἐπ' εὐρέα πόντον ἄγουσι.
Πᾶσά τοι ἔσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.
Πολλων δ' ἀγρομένων, τῷ πείσεαι, ὅς κεν ἀρίστην
Βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
Ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
Καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
Νὺξ δ' ἥδ' ἠὲ διαῤῥαίσει στρατὸν, ἠὲ σαώσει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο,
Ἀμφί τε Νεστορίδην Θρασυμήδεα, ποιμένα λαῶν,
Ἠδ' ἀμφ' Ἀσκάλαφον, καὶ Ἰάλμενον, υἷας Ἄρηος,
Ἀμφί τε Μηριόνην, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Ἠδ' ἀμφὶ Κρείοντος υἱὸν, Λυκομήδεα δῖον.

66. Φυλακτῆρες.] Ἀντὶ τοῦ, φύλακες. ἀπὸ ὀρθῆς τοῦ, φυλακτήρ.

67. Λεξάσθων.] Λεξάσθωσαν, συναριθμηθήτωσαν, κατακλινθήτωσαν.

69. Ἄρχε.] Ἡγοῦ, ἡγεμόνευε.

70. Δαίνυ δαῖτα γέρουσιν.] Ἐπὶ ἑστίασιν κάλει τοὺς ἐντίμους. Ἔοικέ τοι.] Πρέποι σοί ἐστιν. Οὔτοι ἀεικές.] Οὐκ ἔστι σοι ἀπρεπές.

72. Ἠμάτιαι.] Καθημεριναί. αἱ καθ' ἑκάστην ἡμέραν εἰσερχόμεναι.

73. Πᾶσά τοι ἔσθ' ὑποδεξίη.] Πάρεστί σοι ἀφθόνως ἡ πρὸς ὑποδοχὴν δαψίλεια.

74. Ἀγρομένων.] Ἀθροισθέντων, συνελθόντων. Τῷ πείσεαι.] Τούτῳ πεισθήσῃ.

75. Πάντας.] Κατὰ πάντας.

76. Πυκινῆς.] Πυκνῆς, συνετῆς.

77. Τίς ἂν τάδε γηθήσειε;] Προσληπτέον τὸ, ἰδών. Τίς ἂν χαρείη, βλέπων ταῦτα οὕτω πρασσόμενα.

78. Νὺξ ἥδ'.] Αὕτη δὲ ἡ νύξ. Διαῤῥαίσει.] Διαφθερεῖ.

80. Ἐσσεύοντο.] Ἐξῄεσαν, ἐξώρμων.

81. Ἀμφὶ Θρασυμήδεα.] Οἱ περὶ Θρασυμήδην.

88. Πῦρ

Ἑπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
Κοῦροι ἅμ' ἔστειχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες·
Κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες·
Ἔνθαδε πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος.
Ἀτρείδης δὲ γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν
Ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι· οὕνεκα πολλῶν
Λαῶν ἐσσὶ ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξε
Σκῆπτρόν τ', ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα.
Τῷ σε χρὴ πέρι μὲν φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι,
Κρηῆναι δὲ καὶ ἄλλῳ, ὅταν τινὰ θυμὸς ἀνώγῃ
Εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται, ὅ,ττι κεν ἄρχῃ,
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,

88. Πῦρ κήαντο.] Πῦρ ἀνῆψαν.
89. Ἀολλέας.] Ἀθρόας.
90. Μενοεικέα.] Τῷ μένει εἰκοῦσαι, αὐτάρκη.
91. Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα.] Οἱ δὲ ἐπὶ τὰ ἑτοῖμα βρώματα ἐξέτειναν τὰς χεῖρας, καὶ ἤσθιον. Ὀνείατα.] Βρώματα τὴν ὄνησιν παρέχοντα. Ἴαλον.] Ἔπεμπον, ἐξέτεινον.
93. Ὑφαίνειν.] Κατασκευάζειν, μεταφορικῶς.
97. Ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι.] Σύ μοι καὶ ἀρχὴ καὶ τέλος ἔσῃ τῶν λόγων.
98. Ἐγγυάλιξεν.] Ἐνεχείρησεν, ἔδωκε.
100. Πέρι μὲν φάσθαι.] Περισσῶς μὲν βουλεύεσθαι, ὑπὲρ πάντας λέγειν.
101. Κρηῆναι.] Ἐπιτελέσαι, ἐπιτρέψαι, ἢ πεισθῆναί σε, καὶ εἰς τέλος ἀγαγεῖν καὶ τὸ ὑπὸ ἄλλου καλῶς λεγόμενον.
102. Σέο δ' ἕξεται.] Ἤτοι, ἐν τῇ σῇ ἐξουσίᾳ ἔσται τοῦτο τὸ ἔργον δοκιμάσαι. Ἤτοι, τὸ τῶν λόγων κατόρθωμα σὸν ἔσται. εἰς σε γὰρ ἀνενεχθήσεται. Εἰπεῖν εἰς ἀγαθόν.] Ἀγαθὴν εἰσενέγκασθαι γνώμην. Ὅ,τι κεν ἄρχῃ.] Ὅτι ἂν κρατήσῃ, καὶ συμφέρῃ.
104. Νόον.] Νοῦν, γνώμην.

Οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι, ἠδ' ἔτι καὶ νῦν,
Ἐξέτι τοῦ, ὅτε, διογενὲς, Βρισηΐδα κούρην
Χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας·
Οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
Πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
Ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας· ἀλλ' ἔτι καὶ νῦν
Φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας·
Ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι· ἀντί νυ πολλῶν
Λαῶν ἐστιν ἀνὴρ, ὅντε Ζεὺς κῆρι φιλήσῃ.
Ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
Ἀλλ' ἐπεὶ ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα·
Ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
Ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους

106. Ἐξέτι τοῦ.] Ἀπ' ἐκείνου τοῦ χρόνου, ἕως τοῦ νῦν.

108. Οὔτι καθ' ἡμετερόν γε νόον.] Οὐ κατὰ τὴν ἡμετέραν γνώμην.

109. Ἀπεμυθεόμην.] Ἀπηγόρευον, ἐκώλυον. Γράφεται δὲ καὶ, Ἀπεμυθευόμην. ἵν' ᾖ, ἀπελογιζόμην. Μεγαλήτορι.] Γενναίῳ θυμῷ εἴξας.] Νικηθεὶς ὑπὸ τῆς ὀργῆς.

112. Ἀρεσσάμενοι] Φιλοφρονησάμενοι.

115. Οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.] Ἥκιστα κατὰ ψεῦδος, τὰς ἐμὰς ἄτας εἶπας.

116. Ἀασάμην.] Ἔβλαψα. ἠδίκησα. ἐνύβρισα. Ἀναίνομαι.] Ἀρνοῦμαι. Ἀντί νυ πολλῶν.] Μᾶλλον δὲ ἀντάξιος πολλῶν ἐστιν οὗτος ὁ ὑπὸ Διὸς φιλέμενος ἀνήρ.

119. Λευγαλέῃσι.] Δειναῖς, ὀλεθρίαις.

120. Ἀρέσαι.] Εἰς ἀρέσκειαν ἐλθεῖν φιλοφρόνως.

122. Ἀπύρους.] Τοὺς μὴ εἰς πῦρ χρησίμους, ἀλλ' ἀναθηματικούς. καινουργεῖς. τοὺς κόσμου χάριν τιθεμένους ἐν τῷ οἴκῳ.

123. Αἴθωνας.] Τοὺς πρὸς πῦρ ἐπιτηδείους, τοὺς καλουμένους ἐμπυριβήτας, παρὰ τὸ αἴθεσθαι.

124. Πη-

Πηγὲς, ἀθλοφόρες, οἳ ἀέθλια ποσσὶν ἄροντο.
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ, ᾧ τόσσα γένοιτο.
Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
Ὅσσά μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
Δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας· ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς,
Ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.
Τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται, ἣν τότ' ἀπηύρων
Κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
Ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
Νῆας ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω,
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκὸν, οὖθαρ ἀρούρης,
Γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον Ὀρέστῃ,

124. Πηγούς.] Εὐτραφεῖς, εὐπαγεῖς. ἀφ' οὗ, γλοιαίους. Ἀθλοφόρους.] Νικητηρίους. γενναίους. Ἀέθλια.] Ἔπαθλα, θέματα. Ἄροντο.] Ἀπηνέγκαντο, ἐκτήσαντο.

125. Οὔ κεν.] Οὐκ ἄν. Ἀλήϊος.] Ὁ ἄνευ λείας. ἐλλιπὴς βοσκημάτων. Λεία γὰρ κυρίως ἡ τῶν τετραπόδων κτῆσις.

126. Ἀκτήμων.] Ἐνδεής. Ἐριτίμοιο.] Μεγαλοτίμου, ἐνδόξου.

127. Ἠνείκαντο.] Περιεποιήσαντο.

128. Ἀμύμονας.] Ἀμωμήτους, εὐειδεῖς.

130. Ἐξελόμην.] Ὡς ἐξαίρετον ἔλαβον.

131. Μετὰ δ' ἔσσεται.] Ἐν αὐταῖς δὲ ἔσται καὶ ἡ Βρισηΐς.

133. Μήποτε τῆς εὐνῆς.] Ὀμόσει, φησὶ τὸ μηδέποτε αὐτῇ συγκεκοιμῆσθαι.

134. Ἣ θέμις.] Ὡς θέμις. Πέλει.] Γίγνεται.

135. Παρέσσεται.] Παρέσται, δοθήσεται.

137. Ἅλις.] Δαψιλῶς, ἱκανῶς. Νηησάσθω.] Πληρωσάτω, σωρευσάτω.

138. Δατεώμεθα.] Μεριζώμεθα. Ληΐδα. Τὴν λείαν.] Τὰ λάφυρα.

141. Οὖθαρ ἀρούρης.] Τὸ γονιμώτατον καὶ κάλλιστον τῆς γῆς, καὶ κάρπιμον.

Ὅς μοι τηλύγετος τρέφεται, θαλίῃ ἐνὶ πολλῇ.
Τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα
Τάων, ἥν κ' ἐθέλῃσι φίλην ἀνάεδνον ἀγέσθω
Πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπιμείλια δώσω
Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
Ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἄνθειαν βαθύλειμον,
Καλήν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν,
Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος·
Ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
Οἵ κέ ἑ δωτίνῃσι, θεὸν ὥς, τιμήσουσι,
Καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
Ταῦτά κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.
Δμηθήτω· Ἀΐδης τοι ἀμείλιχος, ἠδ' ἀδάμαστος,

143. Θαλίῃ ἐνὶ πολλῇ.] Ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς.

144. Εὐπήκτῳ.] Καλῶς κατεσκευασμένῳ.

145. Λαοδίκη.] Μία τῶν Ἀγαμέμνονος θυγατέρων, ἣν οἱ τραγικοὶ Ἠλέκτραν εἶπον· ὡς καὶ τὴν Ἰφιάνασσαν, Ἰφιγένειάν φησιν ὁ Εὐριπίδης.

146. Ἀνάεδνον.] Ἄνευ ἔδνων. Ἔδνα δέ εἰσι, τὰ πρὸ τῶν γάμων ὑπὸ τοῦ νυμφίου διδόμενα δῶρα τῇ νύμφῃ.

147. Ἐπιμείλια δώσω.] Τὸ ἑξῆς, ἐπιδώσω μείλια. Μείλια δέ εἰσιν, οἷς μειλίσσονται οἱ τῶν νυμφῶν πατέρες τοὺς ἄνδρας.

150. Ποιήεσσαν.] Βοτανώδη.

151. Ζαθέας.] Μεγάλας, θείας. Βαθύλειμον.] Βαθεῖς λειμῶνας ἔχουσαν.

153. Νέαται. * Νείατοι. νενέχαται. ἔσχαται. * Ἤτοι ἔσχαται. ἢ κατῳκισμέναι εἰσίν. Ἠμαθόεντος.] Ἀμμώδους.

154. Πολύρρηνες.] Πολυθρέμματοι, πλούσιοι. Ῥῆνες γὰρ, οἱ ἄρνες. Πολυβοῦται.] Πολλὰς βοῦς ἔχοντες.

155. Δωτίνῃσι.] Δωρεαῖς.

156. Λιπαρὰς τελέουσι θέμιστας.] Ὅσα δεῖ βασιλέα λαμβάνειν παρὰ τῶν ὑπηκόων, εὐκόλως δώσουσι. τοῦτ' ἔστι καὶ ὑποταγέντες αὐτῷ κατὰ τὸ δίκαιον, λαμπροὺς τελέσουσι φόρους. Λιπαράς.] Πλουσίας.

157. Ταῦτά κέ οἱ.] Ταῦτα ἂν αὐτῷ. Μεταλλήξαντι.] Λήξαντι, παυσαμένῳ. Χόλοιο.] Τῆς ὀργῆς.

158. Δμηθήτω.] Δαμασθήτω. τοῦτ' ἔστι, πρᾶος καὶ ἐπιεικὴς γενέσθω. Ἀμείλιχος.] Ἀμείλικτος, ἀσυμπαθὴς

Τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων·
Καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι,
Ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Δῶρα μὲν οὐκ ἔτ' ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι·
Ἀλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
Ἔλθωσ' ἐς κλισίην Πηληϊάδεω Ἀχιλῆος.
Εἰ δ' ἄγε, τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἱ δὲ πιθέσθων·
Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος, ἡγησάσθω,
Αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
Κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
Φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
Ὄφρα Διῒ Κρονίδῃ ἀρησόμεθ', αἴκ' ἐλεήσῃ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
Αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμὸς,
Ὡρμῶντ' ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρείδαο.
Τοῖσι δὲ πόλλ' ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ,
Δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα,

παθὴς, καὶ ἀπηνής. Ἀδάμαστος.] Ὑποταγῆναι μὴ δυνάμενος.

160. Ὑποστήτω.] Παραχωρησάτω, ὑπειξάτω. Βασιλεύτερος.] Βασιλικώτερος.

164. Οὐκ ἔτ' ὀνοστά.] Οὐ μεμπτά.

165. Κλητούς.] Ἐξ ὀνόματος κεκλημένους, ἐπιλέκτους.

167. Ἐπιόψομαι.] Ἐπικρινῶ, ἐπιλέξω. Πιθέσθων.] Πειθέσθωσαν, ὡς συνετώτερος.

168. Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω.] Ἀπελθέτω. Διὰ τὸ τροφέα αὐτὸν εἶναι Ἀχιλλέως.

171. Φέρτε.] Φέρετε. Κέλεσθε.] Κελεύσατε.

173. Ἑαδότα.] Ἀρέσκοντα.

176. Ἐπαρξάμενοι.] Ἐπιχέαντες.

180. Δενδίλλων.] Τοῖς ὄμμασι διανεύων, ἢ περιβλέπων. Ἀπὸ τοῦ διειλεῖν τοὺς ὀφθαλμούς.

181. Πει-

Πειρᾶν, ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.
Τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Πολλὰ μάλ' εὐχομένω γαιηόχῳ Ἐννοσιγαίῳ,
Ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην·
Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
Καλῇ, δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεος ζυγὸς ἦεν·
Τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας·
Τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν·
Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ,
Δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.
Τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς·
Στὰν δὲ πρόσθ' αὐτοῖο· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
Αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος, ἔνθα θάασσεν.
Ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη·
Τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρεὼ,

181. Πειρᾶν.] Πειράζειν ὡς πείσειαν Ἀχιλλέα. Πεπίθοιεν.] Πείσειν δυνηθῶσι.

183. Γαιηόχῳ.] Τῷ τὴν γῆν ὀχοῦντι, ὅ ἐστι, βαστάζοντι. Ἐπὶ θαλάσσης γὰρ βέβηκεν ἡ γῆ.

186. Φόρμιγγι.] Κιθάρᾳ. Λιγείῃ.] Εὐήχῳ.

187. Ζυγός.] Ὁ πῆχυς τῆς κιθάρας, ᾧ ἔγκεινται οἱ κόλλαβοι. Οὕτω δὲ λέγονται οἱ πάσσαλοι, ὧν ἐξάπτονται αἱ χορδαί. Παρὰ τὸ κεκολλῆσθαι.

188. Τὴν ἄρετ' ἐξ ἐνάρων.] Πιθανῶς ἐκ λαφύρων κεκτῆσθαι ἔφη τὴν κιθάραν. Εὑρόντα οὖν, φησὶ, παρελθεῖν ὡς ἄμουσον, ἀπρεπὲς ἦν.

189. Κλέα.] Δόξας ᾠδαῖς κλειομένας.

190. Ἧστο.] Ἐκαθέζετο.

191. Δέγμενος.] Ἐκδεχόμενος. Αἰακίδην.] Τὸν Ἀχιλλέα. πατρωνυμικῶς. Ἔκγονον τοῦ Αἰακοῦ. Λήξειε.] Παύσοιτο.

192. Προτέρω.] Προσωτέρω, ἐνδοτέρω.

193. Ταφών.] Ἐκπλαγεὶς, θαυμάσας. Ἡ μεταφορὰ ἐκ τῶν τάφων· καὶ γὰρ ἡμεῖς ὁρῶντες ἐκπληττόμεθα τὸ μέλλον δεινόν. Ἀνόρουσεν.] Ἀνώρμησεν. ἀνέστη.

194. Θάασσεν.] Ἐκαθέζετο.

195. Ὣς δ' αὔτως.] Παραπλησίως δὲ, ὡσαύτως δὲ, ὁμοίως.

196. Δεικνύμενος.] Δεξιούμενος, φιλοφρονούμενος.

197. Ἦ φίλοι.] Φίλοι δή. Ἱκάνετον.] Παραγίγνεσθε.

Οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον.
Ὣς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς,
Εἷσεν δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν·
Αἶψα δὲ Πάτροκλον προσεφώνεεν, ἐγγὺς ἐόντα·
Μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱὲ, καθίστα,
Ζωρότερον δὲ κέραιρε, δέπας δ' ἔντυνον ἑκάστῳ·
Οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.
Ὣς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
Αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
Ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος καὶ πίονος αἰγὸς,
Ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
Τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς·
Καὶ τὰ μὲν εὖ μίστυλλε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε·
Πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα, ἰσόθεος φώς.
Αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη, καὶ φλὸξ ἐμαράνθη,
Ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσσε·
Πάσσε δ' ἁλὸς θείοιο, κρατευτάων ἐπαείρας.

198. Σκυζομένῳ.] Ὀργιζομένῳ.

200. Κλισμοῖσι.] Καθέδραις ἀνακλίσεις ἐχούσαις. ἀνακλίντροις. Τάπησι.] Μαλλωτοῖς ὑφάσμασι.

202. Καθίστα.] Εὐτρέπιζε, ἑτοίμαζε.

203. Ζωρότερον.] Ζωτικώτερον. Παρὰ τὴν ζέσιν. Κέραιρε.] Κίρνα. Δέπας.] Ποτήριον. Ἔντυνον.] Παρασκεύαζον, εὐτρέπισον.

204. Ὑπέασιν.] Ὑπεληλύθασιν, ἔνδον εἰσί. Μελάθρῳ.] Τῷ οἴκῳ.

206. Κρεῖον.] Κρεωδόχον ἀγγεῖον. Κάββαλε.] Κατέβαλε, κατέθηκεν. Ἐν πυρὸς αὐγῇ.] Περιφραστικῶς, ἐν τῷ πυρί.

207. Νῶτον.] Ψόαν, νωτιαῖον κρέας. Πίονος.] Λιπαροῦ, ἢ τελείου.

208. Συός.] Χοίρου. Σιάλοιο.] Εὐτραφοῦς λιπαροῦ. Ῥάχιν.] Νῶτα, ψόαν. Τεθαλυῖαν.] Θάλλουσαν, ἀκμάζουσαν. Ἀλοιφῇ.] Τῷ λίπει.

209. Ἔχεν.] Ἐκράτει.

211. Φώς.] Ἀνήρ.

213. Στορέσας.] Καταστρώσας. Ἐφύπερθε τάνυσσεν.] Ὑπερήπλωσε.

214. Πάσσε δ' ἁλὸς θείοιο.] Ἔπασσε δὲ τὰ κρέα ἁλσί. Θείους δὲ κέκληκε τοὺς ἅλας, διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασσόμενα. Κρατευτάων.] Τῶν βάσεων, ὅ ἐστι, τῶν λίθων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθενται, ἁπλουμένων κρεῶν. Ἐπαείρας.] Ἐπάρας, σηκώσας.

Αὐτὰρ ἐπεί ῥ' ὤπτησε, καὶ εἰν ἐλεοῖσιν ἔχευε,
Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ,
Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τοίχου τοῦ ἑτέροιο· θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον, ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Νεῦσ' Αἴας Φοίνικι· νόησε δὲ δῖος Ὀδυσσεύς,
Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα·
Χαῖρ', Ἀχιλεῦ· δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς,
Ἠμὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο,
Ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
Δαίνυσθ'· ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν·
Ἀλλὰ λίην μέγα πῆμα, διοτρεφὲς, εἰσορόωντες,
Δείδιμεν· ἐν δοιῇ δὲ, σαωσέμεν, ἢ ἀπολέσθαι
Νῆας ἐϋσσέλμους, εἰ μὴ σύγε δύσεαι ἀλκήν.
Ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι, τηλεκλειτοί τ' ἐπίκουροι,

215. Εἰν ἐλεοῖσιν.] Ἐπὶ τῶν μαγειρικῶν τραπεζίων. Ἤ, ὅτι ἐξ ἐλείων ῥάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι. Ἔχευεν.] Ἀπὸ τῶν ὀβελίσκων εἵλκυσεν.

216. Ἐπένειμεν.] Ἐπεμέρισεν, ἐπέθηκε.

217. Κανέοισι.] Πλεκτοῖς κανισκίοις. Νεῖμεν.] Ἐπένειμεν, ἐπέδωκε.

219. Θῦσαι.] Θυμιᾶσαι, ἀπάρξασθαι.

220. Θυηλάς.] Τὰς ἀπαρχάς.

223 Νεῦσ' Αἴας.] Διενεύσατο, φησὶν, ὁ Αἴας τῷ Φοίνικι εἰ καιρὸς εἴη τῶν πρὸς Ἀχιλλέα λόγων.

224. Πλησάμενος.] Πληρώσας, γεμίσας. Δείδεκτο.] Ἐδεξιοῦτο.

225. Ἐΐσης.] Τῆς ἰσομοίρου. Οὐκ ἐπιδευεῖς.] Οὐκ ἐνδεὴς εἶ.

227. Παρὰ γάρ.] Πάρεστι γάρ. Μενοεικέα.] Τῷ μένει, καὶ τῇ ἱλαρότητι εἴκοντα, καὶ προσήκοντα.

228. Ἐπηράτου.] Ἐπεράστου, καλῆς, ἡδείας.

230. Ἐν δοιῇ.] Ἐν δισταγμῷ, ἐν διχοστασίᾳ.

231. Δύσεαι ἀλκήν.] Ἀναλάβῃς τὴν δύναμίν σου, καὶ κατέλθῃς εἰς τὸν πόλεμον βοηθήσων.

232. Αὖλιν ἔθεντο.] Τὸν αὐλισμὸν ἐποιήσαντο, ἐστρατοπέδευσαν.

Κηάμενοι πυρὰ πολλὰ κατὰ στρατὸν, οὐδ' ἔτι φασὶν
Σχήσεσθ', ἀλλ' ἐνὶ νηυσὶν μελαίνῃσιν πεσέεσθαι.
Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
Ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων
Μαίνεται ἐκπάγλως, πίσυνος Διῒ, οὐδέ τι τίει
Ἀνέρας, οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
Ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν·
Στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα,
Αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρός· αὐτὰρ Ἀχαιοὺς
Δῃώσειν παρὰ τῇσιν ἀτυζομένους ὑπὸ καπνοῦ.
Ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
Ἐκτελέσωσι θεοί· ἡμῖν δὲ δὴ αἴσιμον εἴη
Φθίσθαι ἐνὶ Τροίῃ, ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἄνα, εἰ μέμονάς γε, καὶ ὀψέ περ, υἷας Ἀχαιῶν
Τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
Ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν

234. Κηάμενοι.] Καύσαντες.

235. Σχήσεσθαι.] Ἀνθέξειν, ἀντιστῆναι. Πεσέεσθαι.] Ἐμπεσεῖν.

236. Ἐνδέξια.] Ἀγαθά. Φαίνων.] Φανεροποιῶν, δεικνύς.

237. Βλεμεαίνων.] Διὰ τοῦ βλέμματος αὐτοῦ προθυμίαν ἐπιδεικνύμενος.

238. Πίσυνος Διΐ.] Πεποιθὼς τῷ Διΐ. θαῤῥῶν. Οὐδέ τι τίει.] Οὐ τιμᾷ, λόγον οὐ ποιεῖται.

239. Λύσσα.] Μανία. Δέδυκεν.] Ὑπεισῆλθεν, ἔχει.

240. Ἀρᾶται.] Εὔχεται.

241. Στεῦται.] Διαβεβαιοῦται, ὑπισχνεῖται. Ἄκρα κόρυμβα.] Τὰ τῶν νεῶν ἀκροστόλια.

242. Ἐμπρήσειν.] Καύσειν. Μαλεροῦ.] Μαραντικοῦ, φθαρτικοῦ.

243. Δῃώσειν.] Ἀνελεῖν, φονεύσειν. Ἀτυζομένους.] Ἐκπεπληγμένους, τεταραγμένους.

245. Αἴσιμον.] Πεπρωμένον. εἱμαρμένον.

246. Φθίσθαι.] Διαφθαρῆναι.

247. Ἀλλ' ἄνα.] Ἀλλὰ ἀνάστηθι. Εἰ μέμονας.] Εἰ προθυμῇ.

248. Ἐρύεσθαι.] Ῥύεσθαι, σώζειν.

249. Μῆχος.] Μηχάνημα, τέχνασμα. Οὐδέ τι μῆχος. Ῥεχθέντος γε κακοῦ ἔστ' ἄκος εὑρεῖν.] Ἀμήχανον δὲ λοιπὸν, μετὰ τὸ πραχθῆναι τὸ κακὸν, θεραπείαν καὶ ἴαμα εὑρεῖν αὐτοῦ.

250. Ἄκος.] Ἴαμα.

Φράζευ, ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
Ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
Ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε·
Τέκνον ἐμὸν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
Δώσουσ', αἴκ' ἐθέλωσι· σὺ δὲ μεγαλήτορα θυμὸν
Ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων·
Ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
Τίωσ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
Ὣς ἐπέτελλ' ὁ γέρων· σὺ δὲ λήθεαι· ἀλλ' ἔτι καὶ νῦν
Παῦε, ἔα δὲ χόλον θυμαλγέα· σοὶ δ' Ἀγαμέμνων
Ἄξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
Εἰ δὲ, σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω,
Ὅσσα τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ' Ἀγαμέμνων·
Ἑπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους
Πηγοὺς, ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ, ᾧ τόσσα γένοιτο,
Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
Ὅσσ' Ἀγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
Δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς,
Ἐξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
Τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται, ἣν τότ' ἀπηύρα
Κούρην Βρισῆος, καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,

251. Ἀλεξήσεις.] Βοηθήσεις.

254. Τέκνον ἐμόν.] Προσληπτέον τάδε λέγων. Κάρτος.] Δύναμιν.

256. Ἴσχειν.] Ἐπέχειν, παύειν. Φιλοφροσύνη.] Φιλοφρόνησις, φιλία.

257. Ληγέμεναι.] Λήγειν, παύεσθαι. Κακομηχάνου] Κακὰ ἐργαζομένης.

260. Θυμαλγέα.] Τὸν τὴν ψυχὴν λυποῦντα, χαλεπόν.

261. Μεταλλήξαντι χόλοιο.] Παυσαμένῳ τῆς ὀργῆς.

262. Καταλέξω.] Καταριθμήσω.

300. Απή-

Ἣ θέμις ἐστὶν, ἄναξ, ἤτ' ἀνδρῶν, ἤτε γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
Ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
Νῆας ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,
Αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκὸν, οὖθαρ ἀρούρης,
Γαμβρός κέν οἱ ἔοις· τίσει δέ σε ἶσον Ὀρέστῃ,
Ὅς οἱ τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.
Τρεῖς δέ οἱ εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα·
Τάων, ἥν κ' ἐθέλῃσθα, φίλην ἀνάεδνον ἄγεσθαι
Πρὸς οἶκον Πηλῆος· ὁ δ' αὖτ' ἐπιμείλια δώσει
Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
Ἑπτὰ δέ τοι δώσει εὖ ναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἄνθειαν βαθύλειμον,
Καλήν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν·
Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος·
Ἐν δ' ἄνδρες ναίουσι, πολύρρηνες, πολυβοῦται,
Οἵ κέ σε δωτίνῃσι, θεὸν ὥς, τιμήσουσι,
Καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας·
Ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
Εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
Αὐτὸς, καὶ τοῦ δῶρα· σὺ δ' ἄλλους περ Παναχαιοὺς
Τειρομένους ἐλέαιρε κατὰ στρατὸν, οἵ σε, θεὸν ὥς,
Τίσουσ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἄροιο.

300. Ἀπήχθετο.] Ἐμισήθη.
Κηρόθι.] Ἐκ ψυχῆς.
301. Παναχαιούς.] Πάντας τοὺς Ἕλληνας.

Νῦν γάρ χ' Ἕκτορ' ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθῃ,
Λύσσαν ἔχων ὀλοήν· ἐπεὶ οὔτινα φησὶν ὁμοῖον
Οἷ ἔμμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
Ἧι περ δὴ φρονέω τε, καὶ ὡς τετελεσμένον ἔσται,
Ὡς μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Ἐχθρὸς γάρ μοι κεῖνος, ὁμῶς ἀΐδαο πύλῃσιν,
Ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζει.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Οὔτε μέ γ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω,
Οὔτ' ἄλλους Δαναοὺς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Ἴση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
Ἐν δ' ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλὸς
Κάτθαν' ὁμῶς ὅ,τ' ἀεργὸς ἀνὴρ, ὅ,τε πολλὰ ἐοργώς·
Οὐδέ τι μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
Αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι

309. Ἀπηλεγέως.] Ἀποτόμως, σκληρῶς, ἢ ἀπαγορευτικῶς, κεκριμένως. Ἀποειπεῖν.] Ἀπαρνήσασθαι.

310. Ἧπερ.] Ὡς, καθάπερ.

311. Τρύζητε.] Πολυλογεῖτε, γογγύζητε. Ἀπὸ τῆς τρυγόνος ἡ μεταφορά.

312. Ὁμῶς.] Ὁμοίως, ἴσως. Ἀΐδαο πύλῃσι.] Τῷ θανάτῳ.

313. Κεύθει.] Κρύπτει.

317. Νωλεμές.] Ἀδιαλείπτως.

319. Ἐν δὲ ἰῇ.] Ἐν μιᾷ καὶ αὐτῇ.

320. Κάτθανε.] Τέθνηκεν. Ἀεργός.] Ἀργὸς, ἄπρακτος. Ἐοργώς.] Εἰργασμένος.

321. Περίκειται.] Περισσόν τι ἐστὶν, ἢ περίεστιν.

322. Αἰὲν ἐμὴν ψυχὴν παραβαλλόμενος.] Τῆς ἐμῆς ψυχῆς ἐν τοῖς κινδύνοις καταφρονῶν.

323. Ἀπτῆσιν.] Ἵπτασθαι μὴ δυναμένοις, μικροῖς.

Μάστακ', ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ.
Ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
Ἤματα δ' αἱματόεντα διέπρηξον πολεμίζων,
Ἀνδράσι μαρνάμενος, ὀάρων ἕνεκα σφετεράων.
Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
Πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
Τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
Ἐξελόμην, καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον
Ἀτρεΐδῃ· ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι,
Δεξάμενος, διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν.
Ἄλλα δ' ἀριστήεσσι δίδου γέρα, καὶ βασιλεῦσι·
Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
Εἵλετ', ἔχει δ' ἄλοχον θυμαρέα, τῇ παριαύων
Τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Ἀργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
Ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεΐδαι; ἐπεὶ ὅστις ἀγαθὸς καὶ ἐχέφρων,
Τὴν αὐτοῦ φιλέει καὶ κήδεται· ὡς καὶ ἐγὼ τὴν
Ἐκ θυμοῦ φίλεον, δουρικλητήν περ ἐοῦσαν.
Νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο, καί μ' ἀπάτησε,

324. Μάστακα.] Τροφήν.
325. Ἀΰπνους νύκτας ἴαυον.] Διὰ νυκτὸς ἄγρυπνος διετέλουν πολλάκις.
326. Διέπρησσον.] Διήνυον, διετέλουν.
327. Ὀάρων.] Γυναικῶν.
331. Ἐξελόμην.] Ἐξαίρετα ἔλαβον. Δόσκον.] Ἐδίδων.
333. Διὰ παῦρα δασάσκετο.] Παῦρα διεδάσατο. ὅλα δὲ λαμβάνων, ὀλίγα διένειμε καὶ ἐδίδου.
335. Ἔμπεδα.] Ἑδραῖα, βέβαια, καὶ ἀσφαλῆ. Πέδον γὰρ, ἡ γῆ.
336. Θυμαρέα.] Τῇ ψυχῇ ἀρέσκουσαν. Παριαύων.] Συναναπαυόμενος, συγκαθεύδων.
341. Ἐχέφρων.] Συνετὸς, σώφρων.
342. Τὴν αὐτοῦ φιλέει.] Προσυπακουστέον, γαμετήν. Κήδεται.] Φροντίζει.
343. Δουρικλητήν.] Δορυάλωτον, αἰχμάλωτον.

349. Ἔδει

Μή μευ πειράτω εὖ εἰδότος· ὐδέ με πείσει·
Ἀλλ', Ὀδυσεῦ, σιὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι
Φραζέσθω, νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
Ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
Καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
Εὐρεῖαν, μεγάλην· ἐν ᾗ σκόλοπας κατέπηξεν·
Ἀλλ' ὐδ' ὡς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο
Ἴσχειν· ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν πολέμιζον,
Οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ,
Ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν.
Ἔνθα ποτ' οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν.
Νῦν δ' ἐπεὶ ὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ,
Αὔριον ἱρὰ Διῒ ῥέξας καὶ πᾶσι θεοῖσι,
Νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
Ὄψεαι, ἢν ἐθέλῃσθα, καὶ αἴ κεν τοι τὰ μεμήλῃ,
Ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
Νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
Εἰ δέ κεν εὐπλοΐην δώῃ κλυτὸς Ἐννοσίγαιος,
Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
Ἔστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον ἐνθάδε ἔρρων·

349. Ἔδειμε.] Κατεσκεύασεν, ᾠκοδόμησε. Ἤλασε.] Κατὰ μῆκος ἔσκαψε, καὶ παρέτεινε τῷ τείχει. Ἐπ' αὐτῷ.] Παρ' αὐτῷ.

350. Σκόλοπας.] Ἀποξυσμένα ξύλα.

352. Ἴσχειν.] Ἐπέχειν, κωλύειν.

353. Οὐκ ἐθέλεσκεν.] Οὐκ ἠδύνατο. Ὀρνύμεν.] Παρορμᾶν.

354. Φηγόν.] Δρῦν.

355. Οἶον ἔμιμνεν.] Ἅπαξ ὑπέμεινεν.

357. Ἱρά.] Ἱερεῖα θυσίας.

358. Νηήσας.] Σωρεύσας, πληρώσας. Προερύσσω.] Καθελκύσω.

360. Ἦρι μάλα.] Ὄρθρου πάνυ. Ἑλλήσποντον.] Ἀντὶ τοῦ, εἰς Ἑλλήσποντον. Ἑλλήσποντος δέ ἐστιν ἡ ἐν τοῖς στενοῖς θάλασσα, παρακειμένη τῇ Τροίᾳ, οὕτως προσαγορευθεῖσα ἀπὸ Ἕλλης τοῦ Φρίξου ἀδελφῆς.

361. Ἐρεσσέμεναι.] Ἐρέσσειν, κωπηλατεῖν.

362. Εὐπλοΐην.] Εὔπλοιαν, γαλήνην.

364. Ἔρρων.] Ἐπὶ φθορὰν παραγινόμενος. διὰ τὰ ἐπισυμβαίνοντα.

Ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν,
Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον
Ἄξομαι, ἅσσ' ἔλαχόν γε. Γέρας δέ μοι, ὅσπερ ἔδωκεν,
Αὖτις ἐφυβρίζων ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης· τῷ πάντ' ἀγορευέμεν, ὡς ἐπιτέλλω,
Ἀμφαδόν· ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί,
Εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
Αἰὲν ἀναιδείην ἐπιειμένος· οὐδ' ἂν ἔμοιγε
Τετλαίη, κύνεός περ ἐὼν, εἰς ὦπα ἰδέσθαι·
Οὐδέ τι οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον.
Ἐκ γὰρ δή μ' ἀπάτησε, καὶ ἤλιτεν· οὐδ' ἂν ἔτ' αὖτις
Ἐξαπάφοιτ' ἐπέεσσιν· ἅλις δέ οἱ· ἀλλὰ ἕκηλος
Ἐρρέτω· ἐκ γάρ οἱ φρένας εἵλετο μητίετα Ζεύς.
Ἐχθρὰ δέ μοι τοῦ δῶρα· τίω δέ μιν ἐν καρὸς αἴσῃ.
Οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη,
Ὅσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο·
Οὐδ' ὅσ' ἐς Ὀρχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
Ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν·
Οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε,

366. Πολιόν.] Λαμπρόν. Ὀξυνθεὶς γὰρ ὁ σίδηρος, λαμπρότερος γίγνεται.

367. Ἄσσα.] Ἅτινα. Ἢ, ὅσα.

368. Ἐφυβρίζων ἕλετο.] Ἀφείλετο μεθ' ὕβρεως.

370. Ἀμφαδόν.] Ἀναφανδὸν, φανερῶς. Ἐπισκύζωνται.] Ὀργίζωνται.

373. Κύνεός περ ἐών.] Καίπερ ἄφρων καὶ ἀναιδὴς ὤν. Εἰς ὦπα ἰδέσθαι.] Εἰς ὄψιν ἐλθεῖν.

375. Ἤλιτεν.] Ἥμαρτεν.

376. Ἐξαπάφοιτο.] Ἐξαπατήσοι. Οἱ.] Αὐτῷ.

378. Ἐν καρὸς αἴσῃ.] Ἐν μοίρᾳ θανάτου, ὡς θάνατον. περιφραστικῶς.

381. Ποτινίσσεται.] Προσοδεύεται, προσέρχεται. ὅ ἐστιν ἀνάκειται. Θήβας Αἰγυπτίας.] Τὰς νῦν καλουμένας Διόσπολιν.

384. Ἐξοιχνεῦσιν.] Ἔξεισιν, ἐξέρχονται.

385. Ὅσα ψάμαθός τε κόνις τε.] Ἀντὶ τοῦ, ἀναρίθμητα, καὶ πολλὰ τῷ πλήθει.

Οὐδέ κεν ὧς ἔτι θυμὸν ἐμὸν πείσει Ἀγαμέμνων,
Πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
Κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρείδαο·
Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
Οὐδέ μιν ὧς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω,
Ὅστις οἷ τ' ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν.
Ἢν γὰρ δή με σόωσι θεοί, καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
Πολλαὶ δ' Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
Κοῦραι ἀριστήων, οἵ τε πτολίεθρα ῥύονται.
Τάων ἥν κ' ἐθέλοιμι, φίλην ποιήσομ' ἄκοιτιν·
Ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ,
Γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
Κτήμασι τέρπεσθαι, τὰ γέρων ἐκτήσατο Πηλεύς.
Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον,
Τοπρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν·
Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος, Πυθοῖ ἔνι πετρηέσσῃ.
Ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα,

387. Λώβην.] Ὕβριν.

390. Ἰσοφαρίζοι.] Ἐξισοῖτο, καὶ ἐρίζοι. Τὸ αὐτὸ δέ ἐστιν ἐκ παραλλήλου.

394. Γαμέσσεται.] Πρὸς γάμον λήψεται. κατεγγυήσει.

396. Ῥύονται.] Φυλάττουσι, σώζουσιν.

398. Ἐπέσσυτο.] Ἐφορμᾷ θέλει. Ἀγήνωρ.] Νῦν ἄγαν ἀνδρεῖος. Ὁτὲ δὲ ὁ αὐθάδης, καὶ ὑπερήφανος.

399. Μνηστήν.] Εἰς μνηστείαν δοθεῖσαν, νόμιμον. Εἰκυῖαν ἄκοιτιν.] Ἐμοὶ πρέπουσαν γαμετήν.

404. Λάϊνος.] Λίθινος. Οὐδός.] Ὁ βαθμός, ἡ φλιά. Ἀφήτορος.] Τοῦ Ἀπόλλωνος. τοξικοῦ. ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως. Ἐντὸς ἐέργει.] Ἔσωθεν αὐτοῦ κατέχει.

405. Πυθοῖ ἔνι.] Πυθὼ πόλις Φωκίδος. ἧς οἱ οἰκήτορες Δελφοί. Ἔστι δὲ ἱερὰ Ἀπόλλωνος. Πετρηέσσῃ.] Πετρώδει, τραχείᾳ.

406. Ληϊστοί.] Οἱ ἐκ λείας, καὶ λῃστείας.

Κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα·
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
Μήτηρ γάρ τέ με φησὶ θεὰ, Θέτις ἀργυρόπεζα,
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε·
Εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
Ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
Εἰ δέ κεν οἴκαδ' ἵκοιμι φίλην ἐς πατρίδα γαῖαν,
Ὤλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
Ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην,
Οἴκαδ' ἀποπλείειν· ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
Ἀλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Ἀχαιῶν
Ἀγγελίην ἀπόφασθε, τὸ γὰρ γέρας ἐστὶ γερόντων·
Ὄφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶ μῆτιν ἀμείνω,
Ἥ κέ σφιν νῆάς τε σόῃ, καὶ λαὸν Ἀχαιῶν
Νηυσὶν ἐπὶ γλαφυρῇς· ἐπεὶ οὔ σφισιν ἥδε γ' ἐτοίμη,

407. Ξανθὰ κάρηνα.] Πυῤῥά.

409. Οὔθ' ἑλετή.] Οὔτε πάλιν ληπτή. Ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.] Ἐπειδὴ ἄν, φησιν, ἅπαξ φθάσῃ παρελθεῖν τὸν περίβολον τῶν ὀδόντων. Διὰ γὰρ τοῦ στόματος ἔξεισι τὸ ψυχικὸν πνεῦμα.

411. Διχθαδίας κῆρας.] Δύο μοίρας. Φερέμεν.] Φέρειν, ἔχειν. Θανάτοιο τέλοσδε.] Εἰς θάνατον.

413. Κλέος ἄφθιτον.] Ἀθάνατος δόξα, καὶ φήμη.

415. Δηρόν.] Ἐπὶ πολὺν χρόνον.

417. Παραμυθησαίμην.] Παραινέσαιμι.

418. Δήετε.] Εὑρήσετε. Τέκμωρ.] Τέλος.

419. Μάλα γὰρ ἑθεν.] Σφόδρα γὰρ αὐτῆς.

422. Ἀγγελίην.] Πρεσβείαν. Ἀποφάσθη.] Ἀπαγγείλατε·

423. Φράζωνται.] Σκέπτωνται. Μῆτιν.] Βουλὴν, γνώμην.

424. Σόῃ.] Σώζῃ.

425. Ἑτοίμη.] Εὔληπτος, φανερὰ, ἕτοιμος. Λέγει δὲ τοῦτο, ὅτι, Ματαία ἐστὶν αὕτη ἡ γνώμη, ἣν ἐποιήσατο οἱ Ἕλληνες, πέμψαντες ὑμᾶς πρέσβεις πρός με, ὡς δυναμένους πεῖσαι.

Ἣν νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
Ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλησιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν.
Ὀψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ,
Δάκρυ' ἀναπρήσας, περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν·
Εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
Βάλλεαι· οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ·
Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην,
Οἶος; σοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
Ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε
Νήπιον, οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο,
Οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι·
Τοὔνεκά με προέηκε, διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ', ἔμεναι, πρηκτῆρά τε ἔργων.
Ὣς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
Λείπεσθ', οὐδ' εἴ κέν μοι ὑποσαίη θεὸς αὐτὸς,

426. Ἐφράσσαντο.] Ἐλογίσαντο, ἐσκέψαντο. Ἀπομηνίσαντος.] Σφόδρα ὀργισθέντος.

429. Ἀνάγκῃ δ' οὔτι μιν ἄξω.] Ἀντὶ τοῦ, οὐκ ἀναγκάσω.

431. Ἀγασσάμενοι.] Θαυμάσαντες. Ἀπέειπεν.] Ἀπηρνήσατο, ἀπεῖπεν.

433. Ἀναπρήσας.] Ἀναφυσήσας, ἢ ἀθρόον ἀναβαλών. Περὶ γὰρ δίε.] Περισσῶς γὰρ ἐφοβεῖτο.

434. Μετὰ φρεσὶ βάλλεαι.] Κατὰ νοῦν ἔχεις.

437. Αὖθι λιποίμην.] Ἀπολειφθείην ὧδε.

438. Σοὶ δέ μ' ἔπεμπεν.] Ἀντὶ τοῦ, συνέπεμπέ με σοί.

440. Ὁμοιΐου πολέμοιο.] Τοῦ ὁμοίως πᾶσι χαλεποῦ.

441. Ἀγορέων.] Δημηγορειῶν, ἐρήσεων, ἢ ἐκκλησιῶν. Ἀριπρεπέες.] Διαπρέποντες ἔκδηλοι. Τελέθουσιν.] Ὑπάρχουσι, γίγνονται.

443. Μύθων τε ῥητῆρ' ἔμεναι.] Ἀντὶ τοῦ, διδάσκαλον ἐσόμενον λόγων, ὧν δεῖ λέγειν. Πρηκτῆρά τε.] Καὶ δραστικὸν ἔργων, ἃ δεῖ πράσσειν.

445. Ὑποσαίη.] Ὑπόσχοιτο.

446. Ἀπο-

Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα·
Οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα,
Φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο·
Ὅς μοι παλλακίδος πέρι χώσατο καλλικόμοιο,
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
Μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων,
Παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα·
Τῇ πιθόμην, καὶ ἔρεξα· πατὴρ δ' ἐμὸς, αὐτίκ' ὀϊσθεὶς,
Πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Ἐριννῦς,
Μή ποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν,
Ἐξ ἐμέθεν γεγαῶτα· θεοὶ δ' ἐτέλειον ἐπαρὰς,
Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.
Ἔνθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸς,
Πατρὸς χωομένοιο, κατὰ μέγαρα στρωφᾶσθαι.
Ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
Αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι·
Πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς

446. Ἀποξύσας.] Ἀφελών. Νέον ἡβώοντα.] Ἀκμάζοντα, σώζοντα.

448. Νείκεα.] Φιλονεικίας, ἀπειλάς. Ὀρμενίδα.] Ὀρμένου παιδός.

449. Περιχώσατο.] Περισσῶς ὠργίσθη.

450. Ἀτιμάζεσκεν.] Ἐτίμαζε.

451. Γούνων.] Ἐπὶ γονάτων, γουνουμένη.

452. Προμιγῆναι.] Συνελθεῖν. Ἐχθήρειε.] Μισήσειεν.

453. Πιθόμην.] Ἐπείσθην. Ὀϊσθείς.] Ὑπονοήσας.

454.] Στυγεράς.] Μισητὰς, φρικτάς. Ἐριννῦς.] Ἐριννύες, καταχθόνιοι δαίμονες, τιμωρητικοὶ τῶν πατρικῶν ἀσεβημάτων. ὧν τὰ ὀνόματα, Ἀληκτώ, Τισιφόνη, Μέγαιρα.

455. Ἐφέσσεσθαι.] Ἐπικαθεσθῆναι.

456. Γεγαῶτα.] Γεγεννημένοι. Θεοὶ δ' ἐτέλειον ἐπαράς.] Ἐπετέλουν δὲ οἱ θεοὶ τὰς καταρὰς αὐτοῦ.

457. Ζεύς τε καταχθόνιος.] Ὁ Πλούτων. Καὶ ἐπαινή.] Ἐπίφοβος, δεινή. Αἰνὸν γὰρ, τὸ δεινόν.

458. Ἐρητύετο.] Ἠρεμίᾳ κατείχετο.

459. Στρωφᾶσθαι.] Ἀναστρέφεσθαι· διάγειν.

460. Ἔται.] Ἑταῖροι, πολῖται. Ἀνεψιοί.] Ἀδελφῶν υἱοὶ, ὡς Ἀχιλλεύς, καὶ Αἴας. Ἀμφὶς ἐόντες.] Περὶ ἐμὲ ὄντες, παρόντες.

462. Ἕλικας.] Μέλανας, ἢ ἑλικοειδῆ τὰ κέρατα ἔχοντας.

Ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ
Εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
Πολλὸν δ' ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
Εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
Οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον· οὐδέ ποτ' ἔσβη
Πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς,
Ἄλλο δ' ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
Ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννὴ,
Καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
Ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἕρκιον αὐλῆς
Ῥεῖα, λαθὼν φύλακάς τ' ἄνδρας, δμωάς τε γυναῖκας.
Φεῦγον ἔπειτ' ἀπάνευθε, δι' Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ' ἐξικόμην ἐριβώλακα μητέρα μήλων,
Ἐς Πηλῆα ἄναχθ'· ὁ δέ με πρόφρων ὑπέδεκτο,
Καί με φίλησ', ὡσεί τε πατὴρ ὃν παῖδα φιλήσῃ
Μοῦνον, τηλύγετον, πολλοῖσιν ἐπὶ κτεάτεσσι·
Καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
Ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων·
Καί σε τοσοῦτον ἔθηκα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ θυμοῦ φιλέων· ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ' ἄλλῳ

464. Εὑόμενοι.] Φλογιζόμενοι, ὀπτώμενοι. Τανύοντο.] Ἐξετείνοντο.

465. Κεράμων.] Πίθων. Μέθυ.] Οἶνος.

466. Εἰνάνυχες.] Ἐπὶ ἐννέα νύκτας.

467. Ἀμειβόμενοι.] Ἐξ ἀμοιβῆς φυλάσσοντες. ὅ ἐστιν, ἐκ διαδοχῆς· Ἔσβη.] Ἐπαύσατο, ἐσβέσθη.

468. Αἰθούσῃ.] Αἴθουσαι αἱ ὑπὸ τοῦ ἡλίου καταυγαζόμεναι στοαί. Παρὰ τὸ αἴθεσθαι. Εὐερκέος.] Ἀσφαλῆ περίβολον ἐχούσης.

469. Προδόμῳ.] Τῷ προσόδῳ τοῦ θαλάμου.

471. Πυκινῶς.] Ἐπιμελῶς, ἀσφαλῶς.

472. Ὑπέρθορον.] Ὑπερηλάμην, ἐξέφυγον.

474. Ἑλλάδος.] Ἑλλὰς καὶ Φθία, πόλεις τῆς Θετταλίας.

476. Ἐς Πηλῆα ἄνακτα.] Ἀντὶ τοῦ, πρὸς τὸν Πηλέα ἱκέτης παρεγενόμην, καὶ ἱκέτευσα.

479. Ὤπασε.] Παρέσχεν, ἔδωκε.

480. Ἐσχατιήν.] Τὰ ἔσχατα μέρη.

481. Τοσοῦτον ἔθηκα,] Τηλικοῦτον ἐποίησα. Ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. Ἐπιείκελε.] Ἐφόμοιε.

483. Πά-

Οὔτ' ἐς δαῖτ' ἰέναι, οὔτ' ἐν μεγάροισι πάσασθαι,
Πρίν γ' ὅτε δή σ' ἐπ' ἐμοῖσιν ἐγὼ γούνασσι καθίσσας,
Ὄψου τ' ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχών.
Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα,
Οἴνου, ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.
Ὣς ἐπὶ σοὶ μάλα πολλ' ἔπαθον, καὶ πολλ' ἐμόγησα,
Τὰ φρονέων, ὅ μοι οὔτι θεοὶ γόνον ἐξετέλειον
Ἐξ ἐμεῦ· ἀλλά σε παῖδα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
Ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν. οὐδέ τί σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοὶ,
Τῶν περ καὶ μείζων ἀρετὴ, τιμή τε, βίη τε.
Καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι,
Λοιβῇ τε, κνίσσῃ τε παρατρωπῶσ' ἄνθρωποι
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε, ῥυσσαί τε, παραβλῶπές τ' ὀφθαλμώ·

483. Πάσασθαι.] Γεύσασθαι.
485. Ὄψου.] Προσοψήματος, προσφαγίου. Ἄσαιμι.] Πληρώσαιμι, κορέσαιμι. Προταμών.] Ἤτοι, ἀποκόψας. ἢ, τὸ σκληρὸν τῆς τροφῆς προκατεργασάμενος.
486. Κατέδευσας.] Διάβροχον, ἐποίησας, κατέβρεξας.
487. Ἀποβλύζων.] Ἀπεμῶν, ἐκβάλλων. Ἐν νηπιέῃ ἀλεγεινῇ.] Ἐν τῇ χαλεπῇ παιδοτροφίᾳ. Ἀλεγεινῇ.] Ἀλγεινῇ. Ἐκ τοῦ, ποιεῖν ἀλγεῖν τὴν ψυχήν. καὶ διὰ τοῦτο, τῆς ἐπιτροπείας δεομένην.
489. Ἐξετέλειον.] Ἔδωκαν, πεπαιδοποιήκασι.
492. Δάμασον.] Καταπράϋνον.
493. Νηλεές.] Ἀπηνὲς, ἀπότομον. Στρεπτοί.] Εὐμετάστρεπτοι, εὐμετάβλητοι, εὔπιστοι.
495. Θυέεσσι.] Θυμιάμασι, θυσίαις. Ἀγανῇσι.] Προσηνέσι, πράοις.
496. Παρατρωπῶσι.] Περιτρέπουσι, πείθουσιν.
497. Ὑπερβήῃ.] Παρέλθῃ.
498. Λιταί.] Θεαὶ, οὕτως ἐπικαλούμεναι. Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι.] Ἀνειδωλοποιεῖ τὰς Λίτας ὡς δαίμονάς τινας.
499. Χωλαί.] Χωλοποιοί. Ῥυσσαί.] Ῥυτίδας ἔχουσαι. Ῥυτίδες δὲ καλοῦνται αἱ ἐπὶ τοῦ μετώπου τοῦ δέρματος συστροφαί. Παραβλῶπες.] Παρηγμέναι, διάστροφοι τοὺς ὀφθαλμούς.

Αἵ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι.
Ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος· οὕνεκα πάσας
Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν,
Βλάπτουσ' ἀνθρώπους· αἱ δ' ἐξακέονται ὀπίσσω.
Ὃς μέν τ' αἰδέσεται κούρας Διὸς, ἆσσον ἰούσας,
Τόνδε μέγ' ὤνησαν, καί τ' ἔκλυον εὐξαμένοιο·
Ὃς δέ κ' ἀνήνηται, καί τε στερεῶς ἀποείπῃ,
Λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι,
Τῷ Ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ.
Ἀλλ', Ἀχιλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
Τιμὴν, ἥτ' ἄλλων περ ἐπιγνάμπτει φρένας ἐσθλῶν.
Εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ἀτρείδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
Οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀποῤῥίψαντα κελοίμην
Ἀργείοισιν ἀμυνέμεναι, χατέουσί περ ἔμπης·
Νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν
Ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους (ὑπέστη,
Κρινάμενος κατὰ λαὸν Ἀχαιϊκὸν, οἵτε σοὶ αὐτῷ
Φίλτατοι Ἀργείων· τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς,
Μηδὲ πόδας· πρὶν δ' οὔ τι νεμεσσητὸν κεχολῶσθαι.

500. Μετόπισθ'.] Ἐξόπισθεν, ἐξ ὑστέρου. Ἀλέγουσι.] Φροντίζουσι. Κιοῦσαι.] Ἐλθοῦσαι.

501. Σθεναρή.] Ἰσχυρά. Ἀρτίπος.] Ἀρτίπους. ἄρτιος καὶ ὑγιὴς τοῖς ποσίν. ὁλόκληρος. Οὕνεκα.] Διότι.

502. Ὑπεκπροθέει.] Ὑπεραίρει, προλαμβάνει. Φθάνει.] Προήκει. προλαμβάνει.

503. Ἐξακέονται.] Ἰῶνται, ἀποθεραπεύουσι.

506. Στερεῶς.] Ἰσχυρῶς, σκληρῶς. Ἀποείπῃ.] Ἀπαρνήσηται, ἀπείπῃ.

508. Ἀποτίσῃ.] Δίκην ἀποδῷ. ὁ δή, τιμωρίαν.

510. Ἐπιγνάμπτει.] Πραΰνει.

512. Ἐπιζαφελῶς.] Ἐπιμόνως, ηὐξημένως, ἢ ἐξηρμένως.

513. Ἀποῤῥίψαντα.] Ἀποβαλόντα. Κελοίμην.] Κελεύσαιμι.

514. Χατέουσι.] Χρῄζουσι.

515. Ὑπέστη.] Ὑπεσχέτο.

517. Κρινάμενος.] Ἐπιλεξάμενος.

518. Μῦθον ἐλέγξῃς.] Διό, φησι, μὴ ἀτιμάσῃς ἡμῶν τὸν ὑπὲρ τοῦ ἀξιώσεως λόγον καὶ πρεσβείας.

519. Μηδὲ πόδας.] Μήδε τὴν ἐνθάδε ἄφιξιν. Πρὶν δ' ἔτι νεμεσσητὸν

τὸν

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
Ἡρώων, ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι,
Δωρητοί τε πέλοντο, παράρρητοί τ' ἐπέεσσι.
Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, ἔτι νέον γε,
Ὡς ἦν· ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι.
Ἀμφὶ πόλιν Καλυδῶνα, καὶ ἀλλήλους ἐνάριζον·
Αἰτωλοὶ μὲν, ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς·
Κουρῆτες δὲ, διαπραθέειν μεμαῶτες Ἄρηϊ.
Καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε
Χωσαμένη, ὅ οἱ ἔτι θαλύσια γουνῷ ἀλωῆς
Οἰνεὺς ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυνθ' ἑκατόμβας·
Οἴῃ δ' οὐκ ἔρρεξε Διὸς κούρῃ μεγάλοιο,
Ἢ λάθετ', ἢ οὐκ ἐνόησεν· ἀάσατο δὴ μέγα θυμῷ.
Ἡ δὲ χολωσαμένη, δῖον γένος, ἰοχέαιρα,
Ὦρσεν ἐπὶ χλούνην σῦν ἄγριον, ἀργιόδοντα,

τὸν κεχολῶσθαι.] Πρότερον δὲ οὐ μεμπτὸς ὑπῆρχες ὀργιζόμενος.

520. Τῶν πρόσθεν.] Τῶν πρὸ ἡμῶν. Ἐπευθόμεθα,] Ἠκούομεν.

522. Δωρητοί.] Δώροις πειθόμενοι.

523. Πάλαι.] Πρὸ πολλοῦ Ἐπίῤῥημα χρόνου δηλωτικόν. Οὔτι νέον γε.] Οὐ νεωστί.

524. Ὡς ἦν.] Ὡς ἐγένετο.

525. Κουρῆτες.] Ἀκαρνᾶνες, οἱ ἐν Πλευρῶνι πόλει τῆς Αἰτωλίας οἰκοῦντες. Αἰτωλοί.] Οἱ Καληδώνιοι. ἐπεὶ καὶ οἱ Κουρῆτες Αἰτωλοὶ ὑπῆρχον, ἐμφυλίου ὄντος τοῦ πολέμου. Μενεχάρμαι.] Ὑπομονητικοὶ ἐν μάχαις. πολεμικοί.

526. Ἐνάριζον.] Ἐφόνευον.

530. Θαλύσια.] Τὰς ὑπὲρ εὐθαλείας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας, μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις καὶ τῇ Δήμητρι. Γουνῷ ἀλωῆς.] Ἐν τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς.

532. Ἔῤῥεξεν.] Ἐτέλεσεν.

533. Ἢ λάθετ', ἢ οὐκ ἐνόησεν.] Ἤτοι, ἐννοήσας θῦσαι, ἐπελάθετο. ἢ οὐδ' ὅλως ἐπενόησεν. Ἀάσατο δὴ μέγα.] Ἐβλάβη δὴ μεγάλως.

534.] Δῖον γένος.] Διὸς θυγάτηρ. Ἰοχέαιρα.] Βέλεσι χαίρουσα, τοξότις.

535. Ὦρσεν ἐπί.] Ἐπῶρσε. Χλούνην.] Τὸν ἐν τῇ χλόῃ εὐναζόμενον. εὐτραφῆ. Ἢ, τὸν ἄνετον, καὶ ἄγριον, τὸν ἀφριστήν. Ἄλλοι δὲ, τὸν ἐπὶ Χλούνῃ, χωρίῳ οὕτως καλουμένῳ ἐνδιατρίβοντα. Ἀργιόδοντα.] Λευκοὺς ὀδόντας ἔχοντα.

536. Ἐρ-

Ὅς κακὰ πόλλ' ἔρδεσκεν, ἔθων Οἰνῆος ἀλωήν.
Πολλὰ δ' ὅγε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
Αὐτῇσιν ῥίζῃσι, καὶ αὐτοῖς ἄνθεσι μήλων.
Τὸν δ' υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
Πολλέων ἐκπολίων θηρήτορας ἄνδρας ἀγείρας,
Καὶ κύνας· οὐ μὲν γάρ κ' ἐδάμη παύροισι βροτοῖσι·
Τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
Ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτὴν,
Ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
Ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε,
Τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν· οὐδ' ἐδύναντο
Τείχεος ἔκτοσθεν μίμνειν, πολέες περ ἐόντες.
Ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅστε καὶ ἄλλων
Οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων,
Ἤτοι ὃ, μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ,
Κεῖτο παρὰ μνηστῇ ἀλόχῳ, καλῇ Κλεοπάτρῃ,
Κούρῃ Μαρπίσσης καλλισφύρου Εὐηνίνης,
Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν

536. Ἔρδεσκεν.] Εἰργάζετο, ἔπραττεν. Ἔθων.] Ἐξ ἔθους καταστρέφων, καὶ βλάπτων. Ἀλωήν.] Κοιλάδας, τὴν καρποφόρον χώραν.

537. Προθέλυμνα.] Πρόρριζα. ἐπάλληλα, καὶ πυκνά.

538. Ἄνθεσι μήλων.] Τοῖς καρποῖς.

540. Θηρήτορας.] Κυνηγέτας.

542. Τόσσος ἔην.] Τηλικοῦτος ἦν. Πυρῆς ἐπέβησεν. Ἀντὶ τοῦ, πυρὸς ἐπεβίβασεν. ἀνεῖλεν αὐτούς.

543. Κέλαδον.] Ταραχὴν, θόρυβον.

544. Ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι.] Ὡς καὶ τῆς κεφαλῆς τῷ δέρματι προσεχομένης. Λαχνήεντι.] Δασεῖ.

548. Ἔκτοσθεν.] Ἀντὶ τοῦ, ἐκτὸς, ἔξω.

549. Ἔδυ.] Ὑπεισῆλθεν.

550. Οἰδάνει.] Οἰδαίνει, εἰς ὕψος αἴρεσθαι ποιεῖ, ἐμπίπρησι. Πύκα φρονεόντων.] Σωφρονούντων, συνετῶν.

551. Ἀλθαίῃ.] Ἀλθαία ἡ μήτηρ τοῦ Μελεάγρου. Ἡ δὲ Κλεοπάτρα, Ἴδου, καὶ Μαρπίσσης τῆς Εὐήνου θυγατρὸς, Μελεάγρου δὲ γυνή.

552. Κεῖτο.] Ἀργὸς διετέλει.

553. Εὐηνίνης.] Τῆς Εὐήνου θυγατρός.

554. Ἰδεώ τε.] Τοῦ Ἴδου τοῦ Ἀφαρέως παιδός.

556. Καλ-

Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης·
Τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
Μήτηρ, Ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα,
Κλαῖ', ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀ-
πόλλων.
Τῇ ὅγε παρκατέλεκτο, χόλον θυμαλγέα πέσσων,
Ἐξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
Πόλλ' ἀχέουσ' ἠρᾶτο, κασιγνήτοιο φόνοιο·
Πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία,
Κικλήσκουσ' Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν,
Πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι,
Παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Ἐριννὺς
Ἔκλυεν ἐξ Ἐρέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα.
Τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀ-
ρώρει,
Πύργων βαλλομένων· τὸν δ' ἐλλίσσοντο γέροντες
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους,
Ἐξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον·

556. Καλλισφύρου.] Εὐπρεποῦς, καλῆς. ἀπὸ μέρους.

559. Πολυπενθέος.] Ἐπιπολὺ πενθούσης. Οἶτον.] Μόρον, συμφοράν.

461. Παρκατέλεκτο.] Παρέκειτο. Πέσσων.] Πεπαίνων, παρηγορῶν, ἤ, συνέχων.

562. Ἐξ ἀρέων μητρὸς κεχολωμένος.] Διὰ τὰς τῆς μητρὸς κατάρας ὠργισμένος.

563. Ἀχέουσα.] Λυπουμένη. Κασιγνήτοιο φόνοιο] Διὰ τὸν φόνον τῶν ἀδελφῶν.

564. Πολυφόρβην.] Πολλοὺς τρέφουσαν. Ὅθεν καὶ ἱπποφόρβια καλεῖται τὰ ἵππους τρέφοντα χωρία. Χερσὶν ἀλοία.] Ταῖς χερσὶν ἔτυπτεν.

565. Κικλήσκουσα.] Ἐπικαλουμένη. Ἐπαινήν.] Φοβεράν.

566. Πρόχνυ.] Εἰς γόνατα. Δεύοντο.] Ἐβρέχοντο.

567. Ἠεροφοῖτις Ἐριννύς.] Ἐκ τοῦ σκότους ἐρχομένη, ἀόρατος.

568. Ἐξ Ἐρέβεσφιν.] Ἐκ τοῦ σκότους. Ἀμείλιχον.] Ἀπηνές, σκληρόν.

Ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
Ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι,
Πεντηκοντόγυον· τὸ μὲν ἥμισυ, οἰνοπέδοιο·
Ἥμισυ δὲ, ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι·
Πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς,
Οὐδοῦ ἐπεμβεβαὼς ὑψηρεφέος θαλάμοιο,
Σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν·
Πολλὰ δὲ τόνδε κασίγνηται καὶ πότνια μήτηρ,
Ἐλίσσονθ'· ὁ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
Οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων·
Ἀλλ' οὐδ' ὣς τοῦ θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,
Πρίν γ' ὅτε δὴ θάλαμος πύκα βάλλετο, τοὶ δ' ἐπὶ πύργων
Βαῖνον Κουρῆτες, καὶ ἐνέπρηθον μέγα ἄστυ·
Καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
Λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
Κήδε', ὅσ' ἀνθρώποισι πέλει, τῶν ἄστυ ἁλώῃ·
Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει·
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.
Τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα·

573. Πιότατον.] Λιπαρώτατον, εὐγειότατον.

575. Πεντηκοντόγυον.] Πεντήκοντα γυῶν. ὅ ἐστι πλέθρων. Γύης γὰρ μέτρον γῆς. Οἰνοπέδοιο.] Ἀμπελοφύτου χωρίου.

576. Ψιλὴν ἄροσιν.] Τὴν ἄδενδρον χώραν, τὴν πρὸς τὸ σπείρεσθαι ἐπιτηδείαν. Ταμέσθαι.] Ἀποτεμέσθαι. εἰς τιμὴν λαβεῖν.

578. Ἐπεμβεβαώς.] Ἐπιβεβηκώς.

579. Σείων.] Τινάσσων, κινῶν. Κολλητὰς σανίδας.] Περιφραστικῶς, τὰς θύρας. Ἀπὸ τοῦ καλῶς συνηρμόσθαι. Γουνούμενος.] Ἱκετεύων.

580. Κασίγνηται.] Ἀδελφαί.

582. Κεδνότατοι.] Κηδεμονικώτατοι. Φίλτατοι.] Προσφιλέστατοι.

584. Πύκα.] Συνεχῶς, πυκνῶς, ἢ ἐπιμελῶς.

585. Ἐνέπρηθον.] Ἐνεπύριζον, ἔκαιον.

588. Κήδε'.] Κακά. Ἁλώῃ.] Ληφθείη, πορθηθείη.

589. Ἀμαθύνει.] Κατὰ μικρὸν δαπανᾷ. ὅ ἐστιν, ἄμαθον καὶ κόνιν ποιεῖ.

591. Ὠρίνετο.] Ἀντὶ τοῦ, ὠρίνθη, διεταράχθη. Κακὰ ἔργα. Τὰ πολέμια, φησὶ, κακὰ ἔργα.

Βῆ δ' ἰέναι, χροῒ δ' ἔντε' ἐδύσατο παμφανόωντα.
Ὣς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ,
Εἴξας ᾧ θυμῷ· τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν
Πολλά τε καὶ χαρίεντα· κακὸν δ' ἤμυνε καὶ αὔτως.
Ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσὶ, μηδέ σε δαίμων
Ἐνταῦθα τρέψειε, φίλος· κάκιον δέ κεν εἴη
Νηυσὶν καιομένῃσιν ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροις
Ἔρχεο· ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί.
Εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς,
Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσεαι, πόλεμόν περ ἀλαλ-
κών.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκύς
Ἀχιλλεύς·
Φοῖνιξ, ἄττα, γεραιὲ, διοτρεφὲς, οὔτι με ταύτης
Χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
Ἥ μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰσόκ' ἀϋτμὴ
Ἐν στήθεσσι μένῃ, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν· οὐδέ τί σε χρὴ
Τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι·

592. Βῆ δ' ἰέναι.] Ἐφορμήσας ἐπῆλθεν.

594. Εἴξας ᾧ θυμῷ.] Νικηθεὶς ὑπὸ ἰδίας ἐπιθυμίας.

597. Φίλος.] Φίλε. Ἀττικῶς.

600. Φθισήνορα.] Τὸν φθαρτικὸν τῶν ἀνδρῶν. Δύῃς.] Κατέλθῃς.

601. Τιμῆς ἔσεαι.] Τιμηθήσῃ, ἢ τίμιος ἔσῃ. Ἀλαλκών.] Βοηθήσας, ἐπαμύνας.

603. Ἄττα.] Τροφέ. Θετταλῶν ἡ φωνή. Καὶ ἔστι προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. Τοῦτο δὲ ὑπερβιβάσαντες, τέττα λέγουσιν, ὅθεν, ἑταῖρε. Οὔτι με ταύτης Χρεὼ τιμῆς.] Οὐ χρείαν ἔχω τῆς τε τῶν Ἑλλήνων καὶ τῆς Ἀγαμέμνονος τιμῆς.

604. Φρονέω.] Φρονῶ, βούλομαι. Διὸς αἴσῃ.] Τῇ τοῦ Διὸς βουλήσει.

605. Ἀϋτμή.] Ἀναπνοὴ, ζωή.

606. Ὀρώρῃ.] Κινεῖται.

608. Σύγχει.] Τάραττε, λύπει. Ἀχεύων.] Λυπούμενος.

610. Ἀπέχθηαι.] Ἐχθρὸς γένῃ.

Καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κέ με κήδῃ.
Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
Οὗτοι δ' ἀγγελέουσι, σὺ δ' αὐτόθι λέξεο μίμνων
Εὐνῇ ἔνι μαλακῇ· ἅμα δ' ἠοῖ φαινομένηφι
Φρασσόμεθ', ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ', ἦ κε μένωμεν.
Ἦ, καὶ Πατρόκλῳ ὅγ' ἐπ' ὀφρύσι νεῦσε σιωπῇ,
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
Ἐκ κλισίης νόστοιο μεδοίατο. Τοῖσι δ' ἄρ' Αἴας
Ἀντίθεος Τελαμωνιάδης μετὰ μῦθον ἔειπε·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
Τῇδέ γ' ὁδῷ κρανέεσθαι· ἀπαγγεῖλαι δὲ τάχιστα
Χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
Οἵ που νῦν ἕαται ποτιδέγμενοι· αὐτὰρ Ἀχιλλεὺς
Ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμὸν,
Σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων,
Τῆς, ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων·
Νηλής· καὶ μέν τίς τε κασιγνήτοιο φόνοιο
Ποινὴν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος·
Καί ῥ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ, πόλλ' ἀποτίσας,
Τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
Ποινὴν δεξαμένου· σοὶ δ' ἄλληκτόν τε κακόν τε
Θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν, εἵνεκα κούρης

611. Κήδειν.] Λυπεῖν, βλάπτειν.
612. Ἶσον.] Ὁμοίως. Μείρεο.] Μερίζου.
613. Λέξεο.] Κατακλίθητι.
614. Μαλακῇ.] Ἁπαλῇ.
615. Ἐφ' ἡμέτερα.] Ἀντὶ τοῦ, εἰς τὰ ἡμέτερα.
617. Στορέσαι.] Στρῶσαι.
618. Μεδοίατο.] Μέδοιντο. πρόνοιαν ποιήσαιντο, φροντίσαιεν.
621. Μύθοιο τελευτή.] Τὸ τέλος τοῦ λόγου.
622. Κρανέεσθαι.] Τέλος λήψεσθαι, τελειωθήσεσθαι.
626. Μετατρέπεται.] Ἐπιστροφὴν ποιεῖται, φροντίσει.
628. Νηλής.] Νηλεής. Ἀνηλεής, σκληρός.
629. Ποινήν.] Ἀντέκτισιν, τιμωρίαν ἔλαβέ τις ὑπὲρ ἀδελφικοῦ φόνου.
632. Ἄλληκτον.] Ἄληκτον. ἀκατάπαυστον, ἀθεράπευτον.
633. Εἵνεκα κούρης Οἴης.] Ἤτοι

οἴης,

Οἴης· νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχ' ἀρίστας,
Ἄλλά τε πόλλ' ἐπὶ τῇσι· σὺ δ' ἵλαον ἔνθεο θυμόν·
Αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοι εἰμὲν
Πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλ-
Κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί. (λων
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀ-
χιλλεύς·
Αἶαν Διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν,
Πάντα τι μοὶ κατὰ θυμὸν ἐείσαο μυθήσασθαι·
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου
Μνήσομαι, ὅς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρείδης, ὡσεί τιν' ἀτίμητον μετανάστην.
Ἀλλ' ὑμεῖς ἔρχεσθε, καὶ ἀγγελίην ἀπόφασθε·
Οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
Πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι,
Κτείνοντ' Ἀργείους, κατά τε σμύξαι πυρὶ νῆας.
Ἀμφὶ δέ τοι τῇ ἐμῇ κλισίῃ καὶ νηῒ μελαίνῃ,
Ἕκτορα καὶ μεμαῶτα, μάχης σχήσεσθαι ὀΐω.

οἴης, ὁποίας. εἰρωνικῶς. Ἠ, μιᾶς κόρης.

635. Ἐπὶ τῇσι.] Πρὸς ταύταις. Ἵλαον.] Ἵλεων. εὐμενῆ. Ἔνθεο.] Ποίησον.

636. Αἴδεσσαι.] Αἰδέσθητι. Μέλαθρον.] Συνεκδοχικῶς, οἰκίαν. Ὑπωρόφιοι.] Ὑπὸ τὴν αὐτὴν στέγην.

638. Κήδιστοι.] Οἰκειότατοι, φροντιστικώτατοι.

641. Πάντα τι μοὶ κατὰ θυμὸν ἐείσαο μυθήσασθαι.] Ἅπαντά μοι καθηκόντως ἔδοξας εἰρηκέναι.

642. Οἰδάνεται.] Πληροῦται ὑπὸ ὀργῆς. Ἐκ μεταφορᾶς τοῦ φλεγμονώδους ἣ καλεῖται οἴδημα.

644. Ἀτίμητον.] Ἄτιμον, ἢ τὸν ἐν τιμήματι πολιτείας οὐ συναριθμούμενον. Τιμητικοὶ γὰρ ἐκαλοῦντο οἱ ἐν ταῖς πολιτείαις. Μετανάστην.] Μέτοικον, φυγάδα.

645. Ἀπόφασθε.] Ἀπαγγείλατε.

646. Μεδήσομαι.] Πρόνοιαν ποιήσομαι.

649. Κατά τε σμύξαι.] Κατακαῦσαι.

651. Σχήσεσθαι.] Ἀποσχεθῆναι.

Ὣς ἔφαθ'· οἱ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον, (δυσσεύς.
Σπείσαντες, παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀ-
Πάτροκλος δ' ἑτάροισιν, ἰδὲ δμωῇσι, κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα·
Αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος. ὡς ἐκέλευσε,
Κώεά τε, ῥῆγός τε, λίνοιό τε λεπτὸν ἄωτον·
Ἔνθ' ὁ γέρων κατέλεκτο, καὶ ἠῶ δῖαν ἔμιμνεν.
Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
Τῷ δ' ἄρα παρκατέλεκτο γυνὴ, τὴν Λεσβόθεν ἦγε,
Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο· πὰρ δ' ἄρα καὶ τῷ
Ἶφις εὔζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς,
Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον.
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
Τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
Δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδὸν, ἔκ τ' ἐρέοντο·
Πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Εἴπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Ἤ ῥ' ἐθέλει νήεσσιν ἀμυνέμεναι δήϊον πῦρ,

657. Κώεα.] Κώδια. ὅ ἐστι προβάτων δέρματα. Ῥῆγος. Τὸ βεβαμμένον ἱμάτιον. Καὶ ῥηγεῖς, οἱ βαφεῖς. Λίνοιό τε λεπτὸν ἄωτον.] Περιφραστικῶς, λινοῦν περιβόλαιον τέρεν.

659. Μυχῷ κλισίης.] Ἐν τῷ ἐνδοτάτῳ τόπῳ τῆς σκηνῆς.

660. Παρκατέλεκτο.] Παρεκοιμήθη, παρεκλίθη. Λεσβόθεν.] Λέσβος, Ἑλλάδος νῆσος, πλησίον Ἀσίας.

664. Σκῦρον.] Σκῦρος, πόλις τῆς νῦν μὲν Φρυγίας, πρότερον δὲ Κιλικίας. Ἔστι καὶ νῆσος τῶν Κυκλάδων. ἣν, οὐ πορθήσας, ἀλλ' εἰρωνικῶς καταδραμὼν, ἐλαφυραγώγησεν. Αἰπεῖαν.] Ὑψηλήν. Ἐνυῆος πτολίεθρον.] Ὑπὸ Ἐνυῆος βασιλευθεῖσαν. Ἦν δὲ οὗτος υἱὸς Διονύσου.

666. Κυπέλλοις.] Ποτηρίοις.

667. Ἀνασταδόν.] Ἀναστάντες.

669. Πολύαινε.] Πολλοῦ ἐπαίνου ἄξιε.

671. Ἀπέ-

Ἦ ἀπέειπε, χόλος δέ τ' ἔχει μεγαλήτορα θυμόν;
Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
Πιμπλάνεται μένεος· σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα.
Αὐτόν σε φράζεσθαι ἄμ' Ἀργείοισιν ἄνωγεν,
Ὅππως κεν νῆάς τε σόῃς καὶ λαὸν Ἀχαιῶν·
Αὐτὸς δ' ἠπείλησεν, ἅμ' ἠοῖ φαινομένηφι,
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας·
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι,
Οἴκαδ' ἀποπλείειν· ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἕθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
Ὣς ἔφατ'· εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας, καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω.
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὡς γὰρ ἀνώγει,
Ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε.
Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
Ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα,
Μυρία δῶρα διδούς· ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως,

671. Ἀπέειπεν.] Ἀπηγόρευσε.
674. Σβέσαι.] Καταπαῦσαι. Ἡ μεταφορὰ ἀπὸ τοῦ πυρός.
675. Πιμπλάνεται μένεος.] Πληροῦται ὀργῆς. Σὲ δ' ἀναίνεται.] Σὲ δὲ παραιτεῖται ἐκφαυλίζων.
678. Ἠπείλησε.] Διωρίσατο. εἶπε.
681. Δήετε.] Εὑρήσετε.
683. Χεῖρα ἑὴν ὑπερέσχεν.] Ὑπερασπίζει αὐτῆς.
695. Ἀγήνωρ.] Ἄγαν αὐθάδης, καὶ ὑπερόπτης, ὑβριστής. Ἢ, ὁ ἀγαπῶν τὴν νορέην, ἤγουν τὴν ἀνδρείαν.

696. Ἀγήν-

Νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν, ἤ κεν ἴῃσιν,
Ἤ κε μένῃ· τότε δ' αὖτε μαχήσεται, ὁππότε κέν μιν
Θυμὸς ἐνὶ στήθεσσιν ἀνώγῃ, καὶ θεὸς ὄρσῃ.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
Νῦν μὲν κοιμήσασθε, τεταρπόμενοι φίλον ἦτορ
Σίτου καὶ οἴνοιο· τὸ γὰρ, μένος ἐστὶ καὶ ἀλκή·
Αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος Ἠὼς,
Καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
Ὀτρύνων· καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεσαν βασιλῆες,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ἕκαστος·
Ἔνθα δ' ἐκοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.

696. Ἀγηνορίῃσιν ἐνῆκας.] Αὐθάδη νῦν ἐποίησας αὐτὸν πλέον, καὶ ὑπερήφανον.
697. Ἴῃσιν.] Ἀπέλθῃ.
698. Ἤ κε μένῃ.] Ἐὰν μείνῃ.
701. Τεταρπόμενοι.] Εἰς τέρψιν ἐληλυθότες, κεκορεσμένοι.
702. Τὸ γὰρ, μένος ἐστὶ, καὶ ἀλκή.] Τοῦτο γὰρ δυνάμεώς ἐστιν.
709. Ὕπνου δῶρον.] Ἀνάπαυσιν τοῦ ὕπνου. περιφραστικῶς.

ΤΕΛΟΣ.

Ε Ξ Ε Τ Α Σ Ι Σ

SIVE

INVESTIGATIO

Thematum præcipuorum,

Quæ in Homeri rhapſodiis, A. E. I. promiſcuè continentur.

Ἀασάμην, offendi, temerè feci. *Aor.* 1. *med. verbi* ἄτω *vel* ἄω, noceo, lædo. *Aor.* 1. ᾶσα *per* α *longum Dor. pro* ἦσα, *& ſolutione* τȣ̃ η, *in duplex breve fit* ἄασα, *med.* ἀασάμην: *alii malunt, ab* ἀάσκω, *quod Heſychio eſt* βλάπτω, *Il.* ι. *verſ.* 116. *ibid. verſ.* 119. *Sic* ἀάσθη, *Aor.* 1. *paſſ. verb.* ἄτω.

ἀάσατο nocuit. *tertia perſona ejuſdem temp.* ἀάσατο δ' μέγα θυμῷ, i. nocuit certè multum, *vel, quod eodem redit*, acriter offenſus eſt. *Iliad.* ι. *verſ.* 533.

ἀάσχετον μένος. *pro* ἀκατάσχετον, incoercibile robur, *deriv.* ἀπὸ τȣ̃ σχῶ, σχῆμι. *perf.* ἔσχηκα. *paſſ.* ἔσχημαι *& in tert. perſon.* ἔσχεται: *unde* σχετὸς καὶ ἄσχετος, *& pleonaſm.* τȣ̃ α. ἀάσχετος. *Il.* ε. *verſ.* 892.

ἀβληχρὴν χεῖρα, imbecillam manum, *ab* α *intenſion. &* βληχρὸς, debilis, παρὰ τὸ βεβλῆσθαι. *Il.* ε. *verſ.* 336.

ἄγαγον, duxit, ἐκ δ' ἄγαγε, eduxit, *per tmeſin pro* ἐξήγαγε, *Ion. per epenth.* τȣ̃ γα. *vid.* ἐξήγαγε, *verb.* ἄγω. *Il.* α. *verſ.* 346.

ἀγρο-

ἁμάρτη,

ἀναπρήσας, cum gemitu effundens, ſc. δάκρυα. i. lacrymas. *verbi ἀναπρήθω. fut. ήσω. Il. ι. verſ.* 433.

ἄνασσεν, regnabat, *imperf. Ion. pro ἤνασσεν, verbi ἀνάσσω, fut. ξω, perf. χα. Il. α. verſ.* 252.

ἀνασταδὸν, *adverbialiter*, ſtando, deſuper. *Iliad. ι. ver.* 667.

ἀναστήσειεν, dimoveret, *aor.* 1. *optat. Æolici, verbi ἀνίστημι, aor.* 1. Ἔστησα. *Il. α. verſ.* 191.

ἀνάσχεο, ſuffer, *imperat. Ionic. pro ἀνάσχου, verbi σχέω, inde compoſit. ἀνασχέω. Iliad. α. verſ.* 450. & 586. *Il. ε. verſ.* 382.

ἄναχθ' *pro ἄνακτα, ſequent. aſpir. Iliad. ι. ver.* 476.

ἀνδροφόνοιο Ἕκτορος, i. virorum interfectoris Hectoris, homicidæ. *Iliad. α. verſ.* 242. *Iliad. ι. verſ.* 351.

ἀνέδυ prodiit, emerſit, *aor.* 2. *verb. ἀνάδυμι. Il. α. verſ.* 359.

ἀνεδύσατο, emerſit, *aor.* 1. *med. verbi ἀναδύω, fut. ύσω. Iliad. α. ver.* 359.

ἀνέηκεν *pro ἀνῆκεν*, induxit, impulit, *aor.* 1. *cum incremento Attic. verbi ἀνίημι. Il. ε. verſ.* 882.

ἀνέλοντο, ſumpſerunt, *aor.* 2. *Ion. abſque augment. verbi ἀνέλω, refertur ad αἱρέω. Iliad. α. verſ.* 449.

ἀνελὼν, qui occidit, *aor.* 2. *particip. Iliad. α ver.* 301.

ἀνεμώλια τόξα, inutiles arcus. *Iliad. ε. verſ.* 245. & 216.

ἀνεμώλια βάζειν, irrita dicere, ἐξ ἄνεμος καὶ ὄλλω, quaſi quod in ventos abit.

ἀνέντες, remittentes. *aor.* 1. *partic, ab ἄνην, verb. ἀνίημι, ἐξ ἀνὰ, & ἵημι. Iliad. ε. ver.* 761.

ἀνέσταν, ſurrexerunt, *Dor. pro ἀνέστησαν, aor.* 2. *ab ἀνέστην, verb. ἀνίστημι, ἐξ ἀνὰ & ἵστημι. Iliad. α. ver.* 533.

ἀνέστη, ſurrexit, *aor.* 2. *Iliad. ι. ver.* 195.

ἀροίμεθα,

Δ

δεξάμϑυ@,

Διακλάσας,

διίξομαι, permeabo, *fut. verb.* διϊκνέομαι. *Iliad.* ι. *verſ.* 61.

δικαζέμεν, decernere, *infinit. Ion. pro* δικάζειν, *verb.* δικάζω. *Il.* α. *verſ.* 542.

δινήεντι Ξάνθῳ, vorticoſo Xantho, *Iliad.* ε. *verſ.* 479.

διογενὲς Αἶαν, nobilis Ajax. *Iliad.* ι. *verſ.* 640.

διοτρεφὴς, έος, à Iove nutritus. *Iliad.* ι. *verſ.* 229. *ex* διὸς & τρέφω *compoſ.*

διχθαδίας κῆρας, duplicata fata. διχθάδιος, duplex, anceps. *Il.* ι. *verſ.* 412.

διωκέμεν, inſequi, *infinit. Ion. pro* διώκειν, *verb.* διώκω. *Iliad.* ε. *verſ.* 223.

δμηθήτω, dometur, *imperat. aor.* 1. ἐδμήθην, *verbi* δμάω, *pro* δαμάω, *fut.* ήσω, *præt. paſſ.* δέδμημαι, *per ſyncopen, pro* δεδάμημαι. *Iliad.* ι. *verſ.* 159.

δμηθέντα, *accuſat. particip.* domitum. *Iliad.* ε. *verſ.* 642.

δνοφερὸν ὕδωρ, obſcuram aquam, *à* δνόφος, ου, ὁ, caligo. *ex* δα, quod eſt valde, & νέφος, *vel, ut alii malunt, ex* δινέω, moveo, & νέφος. *Il.* ι. *verſ.* 15.

δοίη, daret, *aor.* 1. *optat. verb.* δίδωμι. *Il.* ι. *verſ.* 379. & *verſ.* 385.

δοκέει, videtur, *verb.* δοκέω, *fut.* ήσω. *Il.* ι. *verſ.* 621.

δολιχόσκιον ἔγχος, longa haſta, *derivat. à* σκιὰ, i. umbra, & δολιχὸς, longus. *Il.* ι. *verſ.* 15. *ibid. verſ.* 280. & 616. & *ſimpliciter* δολιχ' ἔγχεα. *Iliad.* ι. *verſ.* 85.

δόμεν, dare, *pro* ut darent, *aoriſt.* 2. *infinit. Ionic. pro* δοῦναι. *Iliad.* ι. *verſ.* 567.

δόμεναι, *aor.* 2. *infinit. Æol. pro* δοῦναι, *verb.* δίδωμι, *Iliad.* α. *verſ.* 116. *Iliad.* ι. *verſ.* 120. *vid.* ἀποδόμεν.

δόντες, qui dediſtis, *aor.* 1. *part. Iliad.* α. *verſ.* 299.

δόσαν *pro* ἔδοσαν, dederunt, *aor.* 2. *verb.* δίδωμι. *Iliad.* α. *verſ.* 162. *ibid. verſ.* 276. & 392.

δωρητοί,

ἐδιώκαντο,

ἐθέλοιμι,

εἰλόμενοι,

εἰσαμένη,

ἑκατόμπυλαι

ἔμμεν,

ἕμεν, *cum aspirat.* misisse, *aor.* 2. *infinit. pro* εἶναι, *verbi* ἵημι. *Iliad.* ι. *vers.* 443. & 643. *Item* ἕμεν, misimus, *aor.* 2. *ab* ἵημι. *Sic* ἔμμεναι, *Dor. pro* εἶναι.

ἔμμεναι *pro* εἶναι, esse. *Il.* ε. *vers.* 602. *Il.* ι. *vers.* 41. & 306. *ibid. vers.* 343. *ibid. vers.* 638.

ἔμιμνε, exspectabat, *imperfect. verb.* μίμνω. *Iliad.* ι. *vers.* 355. *ibid. vers.* 658.

ἐμίχθη, mixtus est, *aorist.* 1. *pass. verb.* μιγνύω. *Il.* ε. *vers.* 134.

ἐμμεμαυῖα, gestiens, *part. fœm.* *Iliad.* ε. *vers.* 839.

ἐμμεμαὼς, incitatus, *part. præt. Ion. verb.* μάω, *perf.* μέμηκα, & *hinc* μεμηκὼς, ότ☉, *vid. simplex* μεμακὼς. *Il.* ε. *vers.* 199. & 330. & *vers.* 142. & 240.

ἔμμεναι, *geminat. fut. idem quod* ἔμεναι *pro* εἶναι, *poët.* esse. *Iliad.* α *vers.* 118. & 287. *Il.* ι. *vers.* 40. & *ibid.* 306.

ἔμμορα, sortitus sum, *pro* μέμορα, *metathesi litterarum, perf. med. verb.* μείρω, *fut.* μερῶ. *Iliad.* α. *vers.* 278.

ἐμόγησα, laboravi, *aorist.* 1. *verb.* μογέω, *fut.* ήσω. *Il.* ι. *vers.* 488.

ἔμπεδα κεῖται, *plural.* ἔμπεδ☉, firmus, tutus. *Il.* ι. *vers.* 335.

ἔμπεσε *pro* ἐνέπεσε, incidit, *aor.* 2. *verb.* 2. πίπτω. *Il.* ι. *vers.* 436.

ἐμπεφυῖα, implexa, *partic. fœm. verb.* φύω, *fut.* σω, *perf.* κα, & *sublato* κ πέφυα, *part.* πεφυὼς, πεφυῖα. *Iliad.* α. *vers.* 513.

ἐμπρήσειν, incensurum, *verb.* πρήθω, *fut.* σω. *vid.* πρῆσεν. *Il.* ι. *vers.* 242.

ἐνάριζε, interfecit, *imperfect. Ion. verb.* ἐναρίζω, *fut.* ξω, spolio, occido. *Il.* ε. *vers.* 155. *Il.* ι. *vers.* 526. ἐνάριζον.

ἐναρίξοι, occiderit, *fut. optat. ejusd. verbi idem quod* ἐναίρω. *Iliad.* α. *vers.* 191.

ἐνδῦσα,

ἐπήλυθε, advenit, *aorist. 2. verb.* ἔρχομαι. *Iliad.* ι. *vers.* 470.

ἐπηπείλησε, minatus fuerat, *aor.* 1. *verbi* ἀπειλέω, *fut.* ήσω. *Iliad.* α. *vers.* 319.

ἐπηράτου δαιτὸς, amabilis convivii. *Iliad.* ι. *vers.* 228.

ἕπηται, sequatur, *subj. verb.* ἕπομαι. *Il.* ι. *vers.* 428. *ibid. vers.* 687.

ἔπι *pro* ἔπεσι, *verb.* ἔπειμι. *Il.* α. *vers.* 515.

ἐπίαχον, clamabant, *imperf. verb.* ἰάχω. *Iliad.* ε. *vers.* 861.

ἐπιβαινέμεν, ascendere, *Ionic. pro* ἐπιβαίνειν, *verb.* βαίνω. *Iliad.* ε. *vers.* 256.

ἐπιβαίην, conscendam, *aor.* 2. *optat. ut* σταίην, *verb.* βῆμι. *Il.* ε. *vers.* 196.

ἐπιβὰς, ascendens, *aor.* 2. *particip. vid.* βὰς. *Iliad.* ε. *vers.* 328.

ἐπιβήμεναι, ascendisse, *Æol. pro* ἐπιβῆναι, *vid.* βήμεναι, *à* βαίνω. *Iliad.* ι. *vers.* 133. & 275.

ἐπιβήσεο, ascende, *imperat. Ion. pro* ἐπιβήσου, *præs. à* βήσω, *quod à fut. formatur.* *Iliad.* ε. *vers.* 221.

ἐπιβησόμενον, ascensurum, *fut. particip.* *Il.* ε. *vers.* 46.

ἐπιβρίσῃ, ingruerit, *verb.* βρίθω, *aor.* 1. *sub.* *Il.* ε. *vers.* 91.

ἐπιγνάμπτει, flectit, *verb.* ἐπιγνάμπτω. *Il.* ι. *vers.* 510.

ἐπιδήμιον πόλεμον, bellum intestinum. *Iliad.* ι. *vers.* 64.

ἐπιείκελε Ἀχιλλεῦ θεοῖς, i. Diis similis Achilles. *Il.* ι. *vers.* 481. & 490.

ἐπιείκτον μένος, non tractabile robur, non facile cedens. *Iliad.* ε. *vers.* 892.

ἐπιειμένος, indutus. *poët. pro* ἐφειμένος, *verb.* ἐννύω. *Iliad.* α. *vers.* 149.

ἐπιζάφελος χόλος, vehemens ira. *Iliad.* ι. *vers.* 521.

ἐπιζαφελῶς, graviter. *Iliad.* ι. *vers.* 512.

ἐπιειμένε, indute, *vocat.* *Il.* ι. *vers.* 372.

ἐρέοντο,

ἔρξαντα,

ἔφατ,

Z

ἤειπε,

Θ Θάασσεν,

Θ.

I.

ἶξα,

ἰσόθεος

K.

καλλιπάρηον

καταχοιμηθήτω,

κορθύεται

λάϊν@

λισσέσκετο,

μένει, manet. *Iliad. ι. vers.* 630.

μενέμεν, *Ion. pro* μένειν, manere, exspectare, consistere, *infin. verbi* μένω. *Iliad. ε. vers.* 486.

μενέουσιν, manebunt, *pro* μενοῦσι, *per epenth.* τοῦ ε, *verbi* μένω, *fut.* νῶ. *Iliad. ι. vers.* 45.

μένῃ, manserit, *subjunct.* *Iliad. ι. vers.* 606.

μενεχάρμαι Αἰτωλοὶ, pugnaces Ætoli, μενεχάρμης, καὶ μενέχαρμος, promptus in bello, *compositum ex* μένος, εος, τὸ, καὶ χαίρω, *unde* χάρμα, gaudium; *quod etiam* pugnam *significat.* *Iliad. ι. vers.* 525.

μένωμεν, exspectemus. *Iliad. ι. vers.* 615. & 698.

μενοεικέα δαῖτα, sufficiens convivium, demulcens animum. *Iliad. ι. vers.* 20. μενοινάω καὶ ἔω, gestio, opto.

μερμήριξεν, cogitavit, *aor.* 1. *verb.* μερμηρίζω, *fut.* ξω. *Iliad. α. vers.* 189. *Iliad. ε. vers.* 671.

μερόπων ἀνθρώπων, varie linguium hominum, *ex* μέρος, pars, & ὄψ, vox, *fit* μέροψ, *epitheton hominum,* vocem articulatam, & divisam, quod hic alia, ille alia lingua loquatur: vel divisam, *hoc est*, articulatam, *quod soli homini datum inter animantia.* *Iliad. α. vers.* 250. *Iliad. ι. vers.* 340.

μεσσηγὺς, inter. *Iliad. ι. vers.* 545.

μέσσον *pro* μέσον, medium, *gem.* σσ. *Iliad. ε. vers.* 8.

μεταλλήξαντι, desinenti, cessanti, *aor.* 1. *part. verbi* μεταλήγω, *fut.* ξω. *Iliad. ι. vers.* 261. & 299.

μετάλμενος, transiliens, insiliens, *pro* μεθαλλόμενος, *particip. per syncop. verb.* μεθάλλομαι. *Iliad. ε. vers.* 336.

μετατρέπεται, commovetur, *verb.* τρέπω. *Iliad. ι. vers.* 626.

μεταμάζιον στῆθος, inter mamillas pectus. *Iliad. ε. vers.* 19.

μεταφρασόμεσθα, consultabimus, *Ion. & Doricè, pro* μεταφρασόμεθα,

νεῦσε

Ξ

ὄρσεο, surge, *imperat. Ion. pro* ὄρσου, *verb.* ὄρσω, *ab* ὄρω, *fut.* ὄρσω, *fut. Æol. hinc. præs.* ὄρσω. *Iliad.* ε. *vers.* 109.

ὄρσῃ, incitaverit, *aorist. aut præs. subjunct. Iliad.* ι. *vers.* 699.

ὁρόων, videns, *pro* ὁρῶν, *poët. ab* ὁράω ῶ, ὁρόω. *Il.* α. *vers.* 350. *Il.* ε. *vers.* 244.

ὀρώρει, excitabatur, *pro* ὠρώρει, *plusquamperfect. verb.* ὄρω, *fut.* ὀρῶ, *perfect. med.* ὄρωρα. *Il.* ι. *vers.* 596.

ὀρώρῃ, moveantur, *subjunct. præt. med. verb.* ὄρω, *ab Attic. præt.* ὄρωρα, *pro* ὦρα. *Iliad.* ι. *vers.* 606.

ὁσσάτιον *pro* ὅσον, quantum. *Iliad.* ε. *vers.* 758.

ὄσσε τὼ *pro* ὄσσεε, *à nominat.* τὸ ὄσσος, εος, *vel ab* ὄσσος, ὁ, οῦ ὄσσου, *&* ὄσσε, *pro* ὄσσω. *Iliad.* α. *vers.* 104. *& vers.* 200. *Iliad.* ε. *vers.* 82. *&* 310.

ὅσσοι *pro* ὅσοι, quicumque. *Iliad.* ε. *vers.* 267.

ὅσσον *pro* ὅσον, quantum. *Iliad.* α. *vers.* 186. *&* 516.

ὀσσόμενος, intuens, *præs. particip. verbi* ὄσσομαι, *Æol. pro* ὄπτομαι. *Iliad.* α. *vers.* 105.

ὀτρύνων, adhortans, *part. verb.* ὀτρύνω. *Iliad.* ι. *vers.* 705.

ὅττι *pro* ὅτι. *Iliad.* ε. *vers.* 349. *ibid. vers.* 407.

οὐδὸς, οῦ, ὁ, καὶ οὖδος, εος, τὸ, limen, solum. *Il.* ι. *vers.* 578.

οὖθαρ ἀρούρης, uber terræ. *Iliad.* ι. *vers.* 141.

οὖλον Ἄρηα, perniciosum Martem, οὖλος, gravis. *Il.* ε. *vers.* 747.

οὔλυμπον *pro* ὄλυμπον, *per ectasin poet. Iliad.* α. *vers.* 221. *&* 425. *Iliad.* ε. *vers.* 750. *&* 754.

οὕνεκα *pro* οὗ ἕνεκα. *Iliad. vers.* 11. *Iliad.* ι. *vers.* 301. *&* 558. *sic* τοὔνεκα *pro* τοῦ ἕνεκα. *Iliad.* α. *vers.* 291. *Iliad.* ε. *vers.* 372.

οὐρανίωνες θεοὶ, dii cœlites. *Iliad.* α. *vers.* 370.

οὐρεὺς, έος *pro* ὀρεὺς, *per ectasin poët. Il.* α. *vers.* 50.

παρὰ;

περίσχεο,

πτερόεντες

ῥίψε,

τέτανται, exporrecti ſunt, *verb.* τείνω, *præt.* τέταμαι, *Iliad.* ε. *verſ.* 728.

τεταρπόμενοι, *poet. pro* ταρπόμενοι, refecti ſunt, *aor.* 2. *med. particip. verb.* τέρπω. *Iliad.* ι. *verſ.* 701.

τετελέσθαι, perfectum iri, *præt. infin. verbi* τελέομαι. *Iliad.* α. *verſ.* 204.

τετελεσμένον, ratum, perfectumque, *præt. part. Il.* ι. *verſ.* 310.

τετιηότες, contriſtati, λυπηθέντες, *Ion. pro* τετιηκότες, *perfect. particip. verb.* τιέω, *fut.* ήσω, *perf.* ηκα. *Il.* ι. *verſ.* 13. & 30. *ibid. verſ.* 691.

τετιμῆσθαι, honoratum eſſe, *perfect. infin. paſſ. verb.* τιμάω, *fut.* ήσω. *Iliad.* ι. *verſ.* 604.

τέτλαθι, patere, *imperat. verbi.* τλῆμι, *per reduplicat. poet. pro* τλᾶθι. *Il.* α. *verſ.* 582.

τετλαίη, ſuſtineret, auderet, *optat. pro* τλαίη, *poet. ejuſd. verbi. Iliad.* ι. *verſ.* 373.

τέτληκας, ſuſtinuiſti, auſus es, *verb.* τλάω. *Il.* α. *verſ.* 228. *ibid. verſ.* 543.

τετληότες, *Ion. pro* τετληκότες, paſſi. *perfect. particip. plur. Il.* ε. *verſ.* 873.

τετληώς, paſſus, *Ion. pro* τετληκώς. *Ibid. verſ.* 873.

τετραφάληρον κυνέην, quatuor annulos habentem galeam, τέσσαρας φάλους ἔχουσαν. *Il.* ε. *verſ.* 743.

τετύκοντο, paraverunt, *aor.* 2. *verbi* τεύχω, *aor.* 2. ἔτυχον, *med.* ἐτυχόμην, & *Ion.* ἐτυκόμην, *deinde per reduplicat.* τετυκόμην. *Iliad.* α. *verſ.* 467.

τεῦ, *ſine accentu, pro* τινός. *Iliad.* ε. *verſ.* 897.

τεῦχε, parabat, *imperf. Ionic. verbi* τεύχω. *Il.* ι. *verſ.* 4.

τηλεκλητοί τ' ἐπίκουροι, è longinquo advocati auxiliares, *compoſit.* ἐκ τηλοῦ, procul, καὶ κλητός. *Iliad.* ι. *verſ.* 233.

τηλυγέτης, ου, ὁ, *etiam accipitur, pro* charo & ſolo, *abſolute.*

τηλυγέτω

ὑπείρεχον,

ὑποσχόμενοι.

φίλησ

X.

χρυσῆν Ἀφροδίτην, aureum Venerem. *Iliad. ε. verſ.* 427. *Sic* χρυσέη Ἀφροδίτη. *Iliad. ι. verſ.* 384.

χρυσόθρονος Ἄρτεμις, Ἥρη, aureum thronum habens Diana, Juno. *Iliad. α. verſ. ultimo. Il. ι. verſ.* 529.

χωόμενος, iratus, *præſ. particip. verb.* χώομαι, *fut.* χώσομαι. *Iliad. α. verſ.* 244. *Iliad. ι. verſ.* 449. & 551.

χωομένοιο, irati, *genit. particip. Ion. Iliad. ι. verſ.* 459.

χωσαμένη, irata, *aoriſt.* 1. *particip. med. ejuſdem verb. Iliad. ι. verſ.* 530.

χώσατο, iraſcebatur, *aor.* 1. *Ion. pro* ἐχώσατο, *verbi* χώομαι. *Iliad. ι. verſ.* 449.

Ψ.

Ψυχρὸν χαλκὸν, frigidum ferrum: *Iliad. ε. verſ.* 75.

Ω.

Ὦκα *pro* ὠκέα, celeriter, *per ſyncop.* & *ſequenti aſpirat.* ὦχ' *pro* ὦχα. *Iliad. α. verſ.* 402.

ὤλετο, periit, *aor.* 2. *ab* ὤλόμην, *verbi* ὀλέω, *fut.* έσω, *perf.* ὤλεκα, *med.* ὦλα. *Iliad. ι. verſ.* 413. & 415.

ὠμοθέτησαν, crura poſuerunt, *aor.* 1. *verbi* ὠμοθετέω, *fut.* ήσω, *ab* ὠμὸς, ȣ, crudus. *Il. α. verſ.* 461.

ὤνησαν, juvarunt, *aor.* 1. *verb.* ὄνημι, *ab* ὀνέω *inuſitat. fut.* ήσω. *Iliad. ι. verſ.* 505.

ὤπασε, dedit, *aor.* 1. *verb.* ὀπάζω, *fut.* σω. *Iliad. ι. verſ.* 479.

ὤπλησαν, aſſarunt, *aor.* 1. *verb.* ὀπλάω, *fut.* ήσω. *Il. α. verſ.* 466.

ὠρέξαθ' *pro* ὠρέξατο, jaculatus eſt, *aor.* 1. *med. verbi* ὀρέγω, *fut.* ξω, porrigo. *Iliad. ε. verſ.* 851.

ὤρεσι, uxoribus, *dat. plur. Ion. à nom. plurali* ὦρες, in



BOOKS

Sold by J. PRIDDEN, at the *Feathers*, in *Fleetſtreet*.

I. Paradiſus amiſſus, Poema Joannis Miltoni Latine redditum a Gulielmo Dobſon, L L. B. 2 Vol. 4to.

II. The Lives of the Roman Poets; containing a critical and hiſtorical Account of Them and their Writings; with large Quotations of their moſt celebrated Paſſages, as far as was neceſſary to compare and illuſtrate their ſeveral Excellencies, as well as to diſcover wherein they were deficient; to which is added, a chronological Table, fitted to the Years before and after Chriſt, ſhewing the Times when they flouriſh'd and publiſh'd their Works, and exhibiting the moſt remarkable events coincident with Them; together with an Introduction concerning the Origin and Progreſs of Poetry in general, and an Eſſay on Dramatic Poetry in particular. By L. Cruſius, Late of St. John's College, Cambr. and now Maſter of the School at the Charter Houſe

III The Hiſtory of the Life of M. Tullius Cicero, by Conyers Middleton, D. D. Late Principal Librarian of the Univerſity of Cambridge.

IV. A new Engliſh Grammar, or Guide to the Engliſh Tongue, with Notes: wherein a particular Method is laid down to render the Engliſh Pronunciation both more fixed among ourſelves, and leſs difficult to Foreigners; and a ſufficient Number of ſuitable Examples are inſerted to every Figure of Speech both Grammatical and Rhetorical, with an Explanation of all the Terms. The whole being the Reſult of many Years careful Obſervation, as well upon the Peculiarities of our own, as its Conformity with other Languages, eſpecially the Latin, its agreement with which, being all here particularly diſtinguiſh'd, to anticipate as much as poſſible, the Labour of ſuch as are deſigned for that Study; to which is added, a brief Latin Grammar upon the ſame Foundation. By John Kirby, M. A. 12mo.

3/6

